Ἐξ ἐπιστολῆς τοῦ ἐν Ρεθύμνῃ κυρίου Πράκτορος πληροφοροῦμαι ὅτι καὶ εἰς τὸ τμῆμα ἐκεῖνο, ἐν τῇ Μονῇ Ἀρκαδίου, ὁμοία ἐπιτροπὴ δεκαμελὴς ὑπάρχει, ἥτις ἐπίσης δὲν συγκατατίθεται νὰ διαλυθῇ, ἄν, ὡς λέγει, δὲν λάβῃ περὶ τούτου διαταγὴν ἀπὸ τὴν ἐν τῷ τμήματι Χανίων ὑπάρχουσαν Κεντρικὴν Ἐπιτροπήν. Καὶ ἐν τῷ τμήματι ἐκείνῳ ὡς πρὸς τὴν ἔξαψιν τῶν πνευμάτων καὶ τοῦ φόβου συμβαίνουσιν ὅσα καὶ ἐνταῦθα διὰ τοὺς αὐτοὺς λόγους.

Μεταξὺ τῶν μελῶν τῆς Κεντρικῆς λεγομένης Ἐπιτροπῆς ὑπάρχουσι καὶ δύο ἱερομόναχοι Παρθένιοι καλούμενοι (ἐκ τούτων ὁ εἷς, Κελαϊδῆς ἐπονομαζόμενος, φέρει ἑλληνικὸν

Ακαδημία Αθηνών / Academy of Athens

διαβατήριον καὶ ἀναγνωρίζεται ὡς Ἕλλην ὑπήκοος, καθὸ γεννηθεὶς ἐν Μήλῳ ἐκ γονέων Κρητῶν), οἵτινες εἶχον ἀπ' ἀρχῆς τοῦ κινήματος λάβει μέρος ἐνεργὸν καὶ ἐχρησίμευον ὡς γραμματεῖς. Καὶ ὁ μὲν Κελαϊδῆς ἀνήκει εἰς τὴν Μονὴν τῆς Γωνιᾶς, ὁ δὲ ἕτερος ἦν ἑλληνοδιδάσκαλος εἰς σχολήν τινα πλησίον τῆς αὐτῆς μονῆς. Ὁ Γενικὸς Διοικητής, γιγνώσκων ὅτι τὰ δύο ταῦτα πρόσωπα εἶναι τὰ κυριώτερα καὶ ὅτι αὐτὰ χρησιμεύουσιν ὡς κέντρον, προσεπάθησε διὰ διαφόρων μέσων νὰ τοὺς ἀπομακρύνῃ, διὸ καὶ προσεκάλεσε κατ' αὐτὰς τὸν Ἡγούμενον τῆς Γωνιᾶς καὶ τὸν Ἐπίσκοπον Κισσάμου, εἰς οὓς παρήγγειλεν ὅτι ὀφείλουν νὰ τοὺς καλέσωσι τὸν μὲν εἰς τὴν μονήν, τὸν δὲ εἰς τὴν σχολήν, ἀλλέως θὰ θεωρήσῃ καὶ αὐτοὺς ὡς συνευθύνους μ' ἐκείνους καὶ θὰ γράψῃ εἰς τὸ Πατριαρχεῖον κτλ. Οὗτοι ἀπήντησαν ὅτι εἶναι πρόθυμοι νὰ τοὺς καλέσωσιν, ὅπερ καὶ ἔπραξαν ἤδη, ἀλλ' ὅτι ἄλλην ἐξουσίαν δὲν ἔχουσιν ἵνα ἐξασκήσωσιν ἐπ' αὐτῶν ἐν περιπτώσει ἀπειθείας καὶ ὅτι, ἐπομένως, καμμία εὐθύνη δὲν ἐπίκειται εἰς αὐτούς. Περίεργον δὲ εἶναι ὅτι ὁ Γ. Διοικητὴς οὐδέποτε μοὶ ἔκαμε λόγον περὶ τοῦ εἰρημένου Κελαϊδῆ, ἴσως διότι, ἀφοῦ διαφιλονεικεῖ ὅλους τοὺς ἐκ Κρήτης καταγομένους Ἕλληνας, δὲν θεωρεῖ ἴσως καὶ αὐτὸν Ἕλληνα καὶ δὲν θέλει ἐπομένως νὰ φανῇ ἀσυνεπής. Ἤδη προσπαθεῖ δι' ἄλλων μέσων νὰ συλλάβῃ τοὺς εἰρημένους μοναχούς. Κατ' αὐτὰς ὁ εἷς ἐξ αὐτῶν, ὁ Κελαϊδῆς, ἦλθεν εἰς Χαλέπαν, προάστιον τῶν Χανίων, καὶ ἔμεινε κρυπτόμενος ἐπὶ 3–4 ἡμέρας. Ὁ Γενικὸς Διοικητὴς πληροφορηθεὶς τοῦτο ἔθεσε νυκτερινὰς φυλακὰς καὶ παρ' ὀλίγον ⟨θὰ⟩ τὸν συνελάμβανεν, ἂν ἐκεῖνος, προειδοποιημένος, δὲν ἐκρύπτετο.

Κατὰ τὴν ἑβδομάδα ταύτην δύο ἀτμόπλοια, ἤτοι μία φρεγάτα καὶ εἷς δρόμων, ἔφθασαν ἐνταῦθα φέροντα στρατιώτας (δύο τάγματα), οὓς ἀπεβίβασαν. Περίεργον δ' εἶναι ὅτι μεταξὺ αὐτῶν ὑπῆρχε καὶ εἷς δερβίσης, ὅστις ἅμα ἀποβιβασθεὶς ἤρχισε νὰ δημηγορῇ εἰς τὸ συναθροισθὲν περὶ αὐτὸν πλῆθος τῶν Ὀθωμανῶν ἐξεγείρων τὸν κατὰ τῶν Χριστιανῶν φανατισμὸν καὶ λέγων ὅτι ἐγγίζει ὁ χρόνος καθ' ὃν πρέπει νὰ ἐξολοθρευθῶσιν οἱ Χριστιανοί. Οἱ δὲ παρευρεθέντες ἐφώνησαν «ἀμήν». Τὸν ἐπικίνδυνον τοῦτον ἄνθρωπον ἐπεβίβασαν πάλιν εἰς τὸ πλοῖον τὸ ἀναχωρῆσαν ἵνα μεταφέρῃ μέρος στρατοῦ εἰς Ἡράκλειον καὶ Ρέθυμνον. Δὲν δύναμαι ν' ἀποσιωπήσω ὅτι ἡ διαγωγὴ τῶν Χριστιανῶν ὅλων ἐν γένει ὑπῆρξε συνετὴ καὶ μετριοπαθής.

17

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΣΠΥΡΙΔΩΝΑ ΒΑΛΑΩΡΙΤΗΝ[1]

Ἀριθ. 327 *Χανιά, 13 Ἰουνίου 1866*
ΑΥΕ/ΚΥ – Μ1/13

Κατὰ τὴν παρελθοῦσαν ἑβδομάδα οὐδὲν ἄξιον λόγου συνέβη ἐν τῇ νήσῳ. Ἡ ἡσυχία διατηρεῖται. Τὰ πνεύματα κατὰ τὸ μᾶλλον καὶ ἧττον καθησύχασαν. Ἡ γνωστοποιηθεῖσα

1. Ἀπὸ τῆς 9ης Ἰουνίου 1866 τὸ Ὑπουργεῖον Ἐξωτερικῶν εἶχεν ἀναλάβει ὁ Ἐπαμεινώνδας Δεληγεώργης. Τοῦτο προφανῶς δὲν ἦτο γνωστὸν εἰς τὸν Σακόπουλον τὴν 13ην Ἰουνίου.

Ακαδημία Αθηνών / Academy of Athens

εἴδησις, περὶ ἧς ἡμιεπισήμως ἔγραψα πρὸς τὴν Ὑμετέραν Ἐξοχότητα, ὅτι δηλαδὴ ἀπεβιβάσθησαν ἐνταῦθα ὁπλοφόροι ἐξ Ἑλλάδος, ἀπεδείχθη εὐτυχῶς ψευδής. Ἡ Ἐπιτροπὴ ἐξακολουθεῖ εἰσέτι νὰ ὑπάρχῃ εἰς τὸ αὐτὸ ἀπόκεντρον μέρος, πάντες δὲ ἀνυπομόνως ἀναμένουσι τὴν ἐκ μέρους τῆς Ὑψ. Πύλης ἀπάντησιν εἰς τὰς αἰτήσεις τῶν Κρητῶν ἢ τὴν ἀποστολὴν προσώπου πρὸς ἐξέτασιν τῶν παραπόνων των [1].

Πρὸ τριῶν ἡμερῶν ἀφιχθέντα ἐκ Κωνσταντινουπόλεως δύο ἀτμόπλοια ἐκόμισαν δύο τάγματα στρατιωτῶν, πρὸς δὲ καὶ τὸν γαμβρὸν [2] τοῦ Ἰσμαὴλ Πασᾶ, ὅστις διαμένει εἰς τὴν εἰρημένην πόλιν ὡς καπουκεχαγιᾶς [3] αὐτοῦ, καὶ προχθὲς ἡ ναυτικὴ μοῖρα ἡ ἐν τῷ λιμένι τῆς Σούδας ἠγκυροβολημένη καὶ συγκειμένη ἐκ τεσσάρων ἀτμοπλοίων, ἐξ ὧν τὸ ἓν δίκροτον καὶ τὰ δύο φρεγάται, ἦλθον καὶ ἔρριψαν τὰς ἀγκύρας των ἔξωθεν τῶν Χανίων διὰ νὰ πανηγυρίσωσι σήμερον τὴν ἐπέτειον ἑορτὴν τῆς εἰς τὸν θρόνον ἀναβάσεως τοῦ Σουλτάνου. Ὡς δὲ διαδίδουσι, περιμένονται εἰσέτι τέσσαρα τάγματα στρατοῦ, πρὸς τὰ δέκα ἓξ τὰ μέχρι τοῦδε ὑπάρχοντα. Ἀπόψε ὁ Γενικὸς Διοικητὴς ἕνεκα τῆς ἑορτῆς θέλει προσφέρει δεῖπνον, εἰς ὃ προσεκλήθη καὶ ὁ ὑποφαινόμενος.

Ἐν τούτοις, ὁ Γεν. Διοικητὴς ἐν τῷ μέσῳ τῶν περισπασμῶν του δὲν ἐλησμόνησε τοὺς Ἕλληνας. Ὁ Χριστόδουλος Παπάζογλους, ἐκ Κρητῶν γονέων καταγόμενος καὶ εἰς Νάξον κατὰ τὸ πρῶτον ἔτος τῆς ἐπαναστάσεως γεννηθείς, εἶναι Ἕλλην καὶ μέχρι τοῦδε ἐθεωρεῖτο τοιοῦτος φιλονεικηθεὶς μόνον κατὰ τὸ 1847 ἐπὶ τοῦ μακαρίτου Περόγλου. Διὰ τοῦ τελευταίου ἀτμοπλοίου ἐπανελθόντα μετὰ μικρὰν ἀπουσίαν εἰς Κρήτην ἡ ἐγχώριος ἀρχή, ἐπὶ λόγῳ ὅτι εἶναι ὑπήκοος Ὀθωμανὸς καὶ ὡς τοιοῦτος ἐγγεγραμμένος εἰς τὸν κατάλογον τῶν ὀφειλόντων νὰ πληρώσωσι στρατιωτικὸν φόρον [4], τὸν συνέλαβε καὶ τὸν ἐκράτησεν ἐπ' ὀλίγας ὥρας, μέχρις οὗ φέρῃ ἐγγύησιν ὅτι θέλει ἀναγνωρίσει τὴν ὀθωμανικὴν ὑπηκοότητα, ἢ ὅτι ἄλλως ἐντὸς τριάκοντα ἡμερῶν θέλει ἐγκαταλείψει τὴν νῆσον. Ἐπίσης ἕτερος Κρής, Πιππάκης καλούμενος, κατοικήσας ἱκανὸν χρόνον ἐν Σύρῳ, ἔλαβε πρὸ δέκα καὶ ἐπέκεινα ἐτῶν ἑλληνικὸν διαβατήριον. Τοῦτον παρουσιασθέντα κατ' αὐτὰς εἰς τὸ ἐμποροδικεῖον ἐπροσωποκράτησαν ὡς ὑπήκοον Ὀθωμανόν, μηδόλως θέλοντες νὰ δώσωσι προσοχὴν εἰς τὰ ἐπὶ τῆς ἑλληνικῆς ἰθαγενείας δικαιώματά του.

Ἐπ' ἀμφοτέρων τούτων τῶν ὑποθέσεων ἔκαμα τὰς ἀναγκαίας παραστάσεις καὶ ἀπηύθυνα τὰ ἀνήκοντα ἔγγραφα, ἃ θέλω ὑποβάλει εἰς τὴν ἐν Κωνσταν/λει Πρεσβείαν τῆς A.M., ἅμα ἐνταῦθα ἐξαντληθῶσι τὰ εἰς τὴν διάθεσίν μου ὑπάρχοντα μέσα. Ἐν τούτοις οὐδεμίαν ἐλπίδα ἔχω ὅτι ἀπὸ τὴν πάλην ταύτην θὰ ἐξέλθωμεν νικηταί, διότι, μέχρις οὗ τὸ περὶ ἐθνικότητος ζήτημα [δὲν] κανονισθῇ ὁπωσδήποτε μεταξὺ τῶν δύο κυβερνήσεων,

---

1. Χφ. *του*.
2. Καδρῆ Ἐφέντης.
3. Ἀντιπρόσωπος.
4. Περὶ τοῦ φόρου τούτου βλ. H. Couturier, *Ἡ Κρήτη : Ἡ θέσις αὐτῆς ἐξ ἀπόψεως διεθνοῦς δικαίου*, μετάφρασις Τιμ. Βενέρη, Ἡράκλειον 1911, σσ. 40–42.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἀδύνατον εἶναι νὰ λείψωσι τὰ καθ' ἑκάστην ἐν Κρήτῃ συμβαίνοντα μὲ βλάβην τῆς ἐθνικῆς ἡμῶν ἀξιοπρεπείας σκάνδαλα. Προτιμότερον δι' ἡμᾶς ἤθελεν ἴσως εἶσθαι ἂν παρῃτούμεθα οἴκοθεν ἀπὸ τὴν προστασίαν τινῶν προσώπων καὶ μάλιστα τῶν κατὰ τὰ τελευταῖα ἔτη ἀποκτησάντων ἑλληνικὰ διαβατήρια, παρὰ νὰ ὑποκύπτωμεν μὲ ἠθικὴν ζημίαν μας εἰς τὴν βίαν. Δὲν εἶναι δὲ παράξενον, μετὰ τὴν περαίωσιν τῶν νῦν ἐνταῦθα διατρεχόντων, νὰ ἴδωμεν πάλιν τὰς ἐγχωρίους ἀρχὰς νὰ ἐξακολουθήσωσι μετὰ πεισμονῆς τὰς κατὰ τῶν Ἑλλήνων ἀδίκους καταπιέσεις των, διότι ἔν τινι ἐπιστολῇ του ὁ Γεν. Διοικητὴς ἁπαντῶν εἰς ἑτέραν ἰδικήν μου δι' ἧς παρεπονούμην κατὰ τοῦ κλεισίματος οἰνοπωλείου τινὸς μοὶ ἀνέφερεν ὅτι οἱ ἐν Κρήτῃ Ἕλληνες πάντοτε εὑρίσκονται εἰς ἐξαιρετικὴν θέσιν μὴ ἐξομοιούμενοι μὲ τοὺς λοιποὺς ὑπηκόους τῶν ἑτέρων ἐπικρατειῶν. Ἅμα περαιωθείσης καὶ τῆς ὑποθέσεως ταύτης θέλω ὑποβάλει τὰ σχετικὰ ἔγγραφα.

18

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

Ἀριθ. 338 *Χανιά, 19 Ἰουνίου 1866*

ΑΥΕ/ΚΥ – Μ1/16

Ἡ κατάστασις τῶν ἐνταῦθα πραγμάτων κατ' οὐδὲν σχεδὸν μετεβλήθη ἀπὸ τῆς τελευταίας ἀναφορᾶς[1] μου.

Τὴν παρελθοῦσαν Δευτέραν ἐπανηγυρίσθη ἐνταῦθα ἡ ἑορτὴ τοῦ Σουλτάνου καὶ τὴν ἑσπέραν τῆς αὐτῆς ἡμέρας ἐδόθη ὑπὸ τοῦ Ἰσμαὴλ Πασᾶ γεῦμα, εἰς ὃ παρευρέθην καὶ ἐγὼ μετὰ τῶν λοιπῶν προξένων. Ἐκεῖ ἐγνώρισα τὸν νεωστὶ ἐλθόντα Ὑποναύαρχον Ἰβραὴμ Πασᾶν. Οὗτος εἶναι Πελοποννήσιος καὶ ὁμιλεῖ ἀρκετὰ καλὰ τὴν ἁπλοελληνικήν. Τὴν δ' ἐπιοῦσαν ἔκρινα καλὸν νὰ τὸν ἐπισκεφθῶ εἰς τὴν ναυαρχίδα, ἥτις εἶναι ἓν ὡραῖον καὶ μέγα δίκροτον ἀτμόπλοιον, πλὴν τὸ πλήρωμά του εἶναι ἐλλιπές, καθότι, ἐνῷ συνήθως τὰ τοιαῦτα πλοῖα φέρουν 700–800 ἄνδρας, αὐτὸ μόλις ἔχει 400–450. Ὁ ναύαρχος καὶ οἱ περὶ αὐτὸν δὲν ἀποκρύπτουσι τὴν ἐντύπωσιν ἣν ἠσθάνθησαν ἐλθόντες ἐνταῦθα. Εἶχον πληροφορηθῆ, λέγουν, εἰς Κωνσταντινούπολιν ὅτι ὁ τόπος εὑρίσκεται εἰς ἐπανάστασιν, πλὴν ἐλθόντες ἐνταῦθα βλέπουσιν ὅτι ἀπεναντίας εἶναι ἥσυχος καὶ προσθέτουν ὅτι ὁ Σουλτᾶνος ἠμπορεῖ νὰ δειχθῇ[2] ἐπιεικὴς πρὸς τοὺς Κρῆτας, πλὴν ὅτι οὗτοι ἐφέρθησαν ἀτόπως σηκώσαντες τὴν ἡσυχίαν τῶν κατοίκων καὶ ἀναγκάσαντες τὴν Πύλην νὰ ὑποβληθῇ διὰ τὴν κίνησιν τοῦ στρατοῦ εἰς μεγάλας δαπάνας.

Ὁ εἰς τὴν νῆσον ὑπάρχων στρατὸς εἶναι διαμοιρασμένος εἰς τὰ διάφορα φρούρια καὶ εἰς ἄλλα τινὰ μέρη τῆς νήσου. Τὸ μεγαλύτερον αὐτοῦ μέρος ὑπάρχει ἐντὸς τῶν Χανίων

---

1. Βλ. ἀνωτέρω, σσ. 40–42.
2. Χφ. *δεχθῇ*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

καὶ ἔξωθι αὐτῶν κατεσκηνωμένον [1]. Χθὲς ὁ Γεν. Διοικητὴς διά τινος ἀτμοκινήτου φρεγάτας, παραλαβούσης καὶ 300 περίπου στρατιώτας, μετέβη εἰς Κίσσαμον καὶ Γραμβοῦσαν καὶ αὐθημερὸν ἐπανῆλθε. Τίς ὁ σκοπὸς τῆς ἐκεῖ μεταβάσεώς του ἀγνοῶ.

19

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

Ἀριθ. 347 *Χανιά, 27 Ἰουνίου 1866*

ΑΥΕ/ΚΥ – Μ1/18

Ἡ κατάστασις τῶν ἐνταῦθα πραγμάτων κατ' οὐδὲν μετεβλήθη ἀπὸ τῆς παρελθούσης ἑβδομάδος. Οὐδεμία φωνὴ ἐκ Κωνσταντινουπόλεως ἠκούσθη, ἢ ὅτι ἡ Πύλη ἀποστέλλει πρόσωπον πρὸς ἐξέτασιν τῶν παραπόνων τῶν Κρητῶν ἢ ὅτι παραδέχεται ἢ ἀποκρούει τὰς ἀξιώσεις των. Ὁ δ' ἐνταῦθα Γεν. Διοικητὴς οὐδὲν μέτρον βίαιον μετεχειρίσθη κατὰ τῆς Ἐπιτροπῆς περιορισθεὶς μόνον εἰς ἁπλᾶς ἐπιδείξεις, οἷον κινήσεις στρατοῦ, ἑτοιμασίας ζῴων πρὸς μεταφορὰν ἀποσκευῶν καὶ τὰ παρόμοια. Δὲν παύει ὅμως παραπονούμενος διὰ τὴν ὕπαρξίν της καὶ ἀφοῦ προσπαθήσας διὰ διαφόρων πλαγίων μέσων νὰ τὴν ματαιώσῃ ἀπέτυχεν, ἤδη καταγίνεται νὰ τὴν παραστήσῃ ὡς ἐξοκείλασαν εἰς ἀξιοποίνους πράξεις, ὡς προκαλοῦσαν στάσεις καὶ ἀναρχίαν, πλὴν αἱ μομφαὶ αὗται, ἡ μία μετὰ τὴν ἄλλην, ἀποδεικνύονται ψευδεῖς, διότι ἡ Ἐπιτροπή, πραγματικῶς, μακρὰν τοῦ νὰ πράξῃ τι ἐκ τῶν εἰς αὐτὴν ἀποδιδομένων, ἀπεναντίας μάλιστα συνετέλεσεν εἰς τὸ νὰ διατηρηθῇ ἡ τάξις καὶ νὰ μὴ παρεκτραπῶσι τὰ πλήθη ἐν τῇ ἐξάψει τῶν πνευμάτων ἥτις ἐπὶ τοσοῦτον χρόνον ἐπικρατεῖ ἐνταῦθα εἰς ἀξιοθρηνήτους πράξεις. Τὸ μόνον πρᾶγμα ὅπερ ἡ Ἐπιτροπὴ αὕτη ἔπραξε εἶναι ὅτι συνέλαβε καὶ ἐκράτησεν ἐπὶ ὀλίγας ὥρας ἕνα ἄνθρωπον μισθοδοτούμενον ὑπὸ τοῦ Πασᾶ καὶ ἀνακαλυφθέντα ὡς κατάσκοπον. Ὁ ἄνθρωπος οὗτος (Δασκαλάκης καλούμενος, ὅστις εἶναι ἀγγεῖον ἐλεεινόν, ὡς λέγουν) καίτοι ἀφεθεὶς μετά τινας ὥρας ἐλεύθερος δὲν ἠθέλησε πλέον ν' ἀπομακρυνθῇ ἐκεῖθεν φοβούμενος μὴ κακοποιηθῇ ὑπὸ τοῦ λαοῦ, ἀφοῦ ἀπεδείχθη κατάσκοπος καὶ προδότης. Τὸ γεγονὸς τοῦτο ὁ Διοικητὴς ἐξώγκωσεν ὑπὲρ τὸ δέον καὶ δὲν παύει νὰ τὸ ἀναφέρῃ ὡς ἔγκλημα ἐσχάτης προδοσίας τῶν ἀνθρώπων ἐκείνων.

Ὁ Γεν. Διοικητὴς ἐν τῇ στενοχωρίᾳ του προσπαθεῖ νὰ εὕρῃ τινὰ εἰς ὃν νὰ ρίψῃ τὴν εὐθύνην τῶν γενομένων ἐνταῦθα καὶ εὗρε τὸ Ρωσικὸν Προξενεῖον, ὅπερ κατηγορεῖ ὡς δῆθεν ὑποκινῆσαν καὶ ὑποθάλψαν τὸ κίνημα. Μάλιστα κατ' αὐτὰς σφοδρὰς εἶχε φιλονεικίας περὶ τούτου μετὰ τοῦ Γενικοῦ Προξένου τῆς Ρωσίας Κου Δενδρινοῦ, πλὴν αἱ αἰτιάσεις αὗται εἶναι ἀνυπόστατοι, ὡς ἐξάγεται ἐκ τῶν διαφόρων ἀπ' ἀρχῆς τοῦ κινήματος πρὸς τὸ Β. Ὑπουργεῖον ἐκθέσεών μου καὶ ἰδίως ἐκ τῆς ὑπ' ἀριθ. 294 καὶ ἀπὸ 22 Μαΐου ἐ.ἔ. ἀναφορᾶς [2] μου, ἐν ᾗ ἐκτίθεται τί ὁ Κος Δενδρινὸς ὑπὲρ τῶν Χριστιανῶν ἐνήργησεν.

---

1. Χφ. *κατεσκηνωμένος*.
2. Βλ. ἀνωτέρω, σσ. 28–35.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ κ. Δενδρινός, διαμένων ἐνταῦθα πρὸ ἑπταετίας καὶ γνωρίσας κάλλιστα καὶ τὴν κατάστασιν τοῦ τόπου καὶ τὰς ἀνάγκας τῶν Χριστιανῶν, δὲν ἔπαυσε ὄχι μόνον νὰ κάμῃ ⟨sic⟩ πρό τινων ἐτῶν γνωστὰ ταῦτα εἰς τὴν κυβέρνησίν του, ἀλλὰ καὶ εἰς τὸν Ἰσμαὴλ Πασᾶν, μεθ' οὗ ἦτο πλειότερον παντὸς ἄλλου προξένου συνδεδεμένος. Πολλάκις ἐστιγμάτιζε τὴν παροῦσαν κατάστασιν, ἀποδεικνύων εἰς αὐτὸν ὅτι τὸ ἀληθὲς συμφέρον καὶ κυβερνώντων καὶ κυβερνωμένων ἦτο νὰ ληφθῇ πρόνοιά τις πρὸς μεταρρύθμισιν τοῦ διοικητικοῦ καὶ φορολογικοῦ συστήματος, ἀμφοτέρων τόσον ἐλαττωματικῶν. Πολλάκις δὲ καὶ εἰς τοὺς Κρῆτας αὐτούς, παραπονουμένους διὰ τὴν κατάστασίν των, εἶπεν ὅτι ἡ βελτίωσις τῆς τύχης των ἐξαρτᾶται ἐξ αὐτῶν τῶν ἰδίων καὶ ὅτι ἠδύναντο δι' εἰρηνικῶν μέσων νὰ παραστήσωσι τὰς ἀνάγκας των καὶ τὰ δικαιώματά των εἰς τὴν κυβέρνησίν των. Ὁ Κος Δενδρινὸς δὲν ἀρνεῖται ὅτι πολλάκις πολλοὶ ἐκ τῶν λαβόντων μέρος εἰς τὸ κίνημα μετέβησαν εἰς τὴν οἰκίαν του καὶ τὸν ἠρώτησαν περὶ διαφόρων ἀντικειμένων (διότι ἓν τῶν παραπόνων τοῦ Γεν. Διοικητοῦ εἶναι καὶ τοῦτο), ἀλλὰ λέγει ὅτι ὡς ἀντιπρόσωπος μιᾶς χριστιανικῆς δυνάμεως ἔχει τὴν θύραν του ἀνοικτὴν εἰς πάντα Χριστιανὸν ἐντὸς τῶν ὁρίων τῆς νομιμότητος εὑρισκόμενον, οἱ δὲ Κρῆτες μέχρι τοῦδε δὲν ἐξετράπησαν αὐτῆς.

Ἡ ἐπιτροπὴ τῶν ἀντιπροσώπων διαμένουσα πάντοτε εἰς Κάμπους, χωρίον ἀπόκεντρον καὶ ὀρεινόν, 5–6 ὥρας ἀπέχον τῶν Χανίων, διώρισε κατ' αὐτὰς τὸν Κώνσταν Βελουδάκην, ἢ Κωσταρὸν ἐπιλεγόμενον, πρόεδρόν της. Ἀφοῦ ἡ Ἐπιτροπὴ ἔλαβε τὸ μέτρον νὰ μείνῃ διαρκής, ὁ διορισμὸς προέδρου ἦτο ἀναγκαῖος διὰ τὴν ἑνότητα καὶ τὴν ἀποτελεσματικότητα τῆς ἐνεργείας, ὥστε ἤδη οὐδεὶς ὑπάρχει φόβος ὅτι θέλουσι παρεκτραπῆ εἰς πράξεις ἀτάκτους ἢ ἀπερισκέπτους, τοσούτῳ μᾶλλον καθ' ὅσον ὁ Κωσταρὸς εἶναι ἄνθρωπος χαίρων μεγάλην ὑπόληψιν ὡς συνετὸς καὶ ἀγνὸς πατριώτης. Καὶ δικαίως. Εἶναι γέρων εὐφυέστατος, συνετός, ἀφιλοκερδής, πατριώτης ἀδάμαστος καὶ ἐξασκεῖ μεγάλην ἐπιρροὴν εἰς τὸν τόπον. Εἶναι ἀμαθὴς πλὴν διὰ τῆς εὐφυΐας του πολλὰ πράγματα ἀναπληρώσας. Ἐν ἐνὶ λόγῳ εἶναι ἄνθρωπος ἀρχαϊκώτατος καὶ λαλῶν τις πρὸς αὐτὸν νομίζει ὅτι ἔχει ἐνώπιόν του τὸν Ὀδυσσέα τοῦ Ὁμήρου.

Ἡ εἰς τὸ φρούριον προσέλευσις ὀθωμανικῶν οἰκογενειῶν εἶχε διακοπῆ, ἀλλὰ κατ' αὐτὰς πάλιν ἤρξαντο νὰ προσέρχωνται.

20

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

Ἀριθ. 356 *Χανιά, ⟨3⟩ [1] Ἰουλίου 1866*

ΑΥΕ/ΚΥ – Μ1/22

Καὶ κατὰ τὴν ἑβδομάδα ταύτην δὲν ἔχω ν' ἀναφέρω ἄξιόν τι λόγου εἰς τὴν Ὑμετέραν Ἐξοχότητα εἰμὴ τὸ ἑξῆς γεγονός, ὅπερ δὲν στερεῖται εἰς τὰς παρούσας περιστάσεις τοῦ τόπου σημασίας τινός.

1. Ἡ προσθήκη ἐγένετο συμφώνως πρὸς τὸ πρωτόκολλον τοῦ Προξενείου Χανίων (ΑΥΕ/ΠΧ –

Ακαδημία Αθηνών / Academy of Athens

Ὅτε οἱ παραπονούμενοι Κρῆτες ἦσαν συνηθροισμένοι ἔξωθεν τῶν Χανίων εἰς θέσιν Κουτζουνάρια, ὁ Γενικὸς Διοικητὴς εἶχε στείλει πρὸς αὐτοὺς ἐπιτροπήν τινα πρὸς τὸν σκοπὸν νὰ τοὺς προτρέψῃ νὰ διαλυθῶσι καὶ μεταξὺ αὐτῆς ὑπῆρχε καὶ κάποιος Μούτζο-Νικολάκης [1], ἄνθρωπος ἐξασκῶν ἄλλοτε ἐπιρροὴν εἰς τὸν τόπον, ἀλλὰ τὴν ὁποίαν ἀπώλεσεν ἀφ' ἧς φιλιωθεὶς μετὰ τοῦ Γενικοῦ Διοικητοῦ ἐφάνη ὅτι ὑπεστήριξεν αὐτόν. Τότε εἷς ἐκ τῶν συνηθροισμένων ἔχων ἔχθραν κατ' αὐτοῦ, διότι ἀπηνῶς τὸν εἶχε κατατρέξει ἄλλοτε διὰ τῶν μέσων τὰ ὁποῖα παρὰ τῷ Διοικητῇ εἶχεν ὡς τραυματίσαντα ἕνα συγγενῆ του, τρέφων, λέγω, πάθος κατ' αὐτοῦ καὶ ὠφεληθεὶς τῆς περιστάσεως τὸν ἐξύβρισε καὶ ἀπεπειράθη νὰ τὸν φονεύσῃ διὰ πιστολίου πρὸς ἐκδίκησιν. Εὐτυχῶς ἀπέτυχε τοῦ σκοποῦ του, ἀλλ' ἔκτοτε ὁ νέος ἐκεῖνος παρηκολούθει τὴν Ἐπιτροπήν. Κατὰ δὲ τὰς τελευταίας ἑορτὰς τῶν Ἁγίων Ἀποστόλων, ἐνῷ μίαν νύκτα ἐκοιμᾶτο εἰς τὸ ὕπαιθρον εἰς χωρίον Κάμπους παρὰ τοῖς ἑαυτοῦ συγγενέσι, πρὸς οὓς ἦλθεν ἵνα συνεορτάσῃ, ἄγνωστός τις ἐλθὼν τὸν ἐδολοφόνησε διὰ πιστολίου. Οἱ ἐκεῖ συγκοιμώμενοι εἶδον τὸν δολοφόνον φεύγοντα, ἀλλὰ δὲν τὸν ἐγνώρισαν. Συνέλαβον ὅμως ἀμέσως τὴν ἰδέαν ὅτι συγγενὴς τοῦ Μούτζο-Νικολάκη ἦτο ὁ φονεὺς καὶ συναθροισθέντες πολλοὶ συγγενεῖς καὶ φίλοι μετέβησαν εἰς τὴν οἰκίαν τοῦ ὑπόπτου, τὴν περιεκύκλωσαν καὶ πυροβολοῦντες εἰς αὐτὴν ἐφόνευσαν ἓν ἐντὸς εὑρισκόμενον ἑξαετὲς παιδίον, ἔγγονον τοῦ εἰρημένου Μούτζο-Νικολάκη.

Συνεπείᾳ τοῦ δυσαρέστου τούτου συμβάντος, ὅπερ οὐδαμῶς ἔχει σχέσιν τινὰ μὲ τὰ μέλη τῆς Ἐπιτροπῆς (λέγω τοῦτο, διότι πᾶν ὅ,τι ἀτάκτημα γίνῃ ὁ Γεν. Διοικητὴς εἰς τὴν Ἐπιτροπὴν τὸ ἀποδίδει), ἡ Διοίκησις ἔλαβε τὸ μέτρον νὰ πέμψῃ ἓν τάγμα στρατιωτῶν καὶ ἀτάκτους τινὰς εἰς τὸ χωρίον Κάμπους, δηλαδὴ εἰς ἓν τῶν κεντρικωτέρων μερῶν τῆς νήσου καὶ πλησίον τῆς θέσεως εἰς ἣν ἡ Ἐπιτροπὴ ἑδρεύει. Ἂν ἡ δύναμις αὕτη ἐστάλη εἰς τὸ μέρος ἐκεῖνο χάριν μόνον τῆς διατηρήσεως τῆς τάξεως ἢ διὰ στρατιωτικοὺς λόγους ἄδηλον εἶναι.

Ἐκτὸς τῶν φόνων τούτων καὶ εἰς τὰ πέριξ τῆς Ρεθύμνης εὑρέθησαν πρό τινων ἡμερῶν φονευμένοι δύο ζαπτιέδες (χωροφύλακες), ἀλλὰ τίνες οἱ φονεῖς ἄγνωστον [2].

Εἶχα γράψει τὰ ἀνωτέρω, ὅτε ἔλαβον τὰ ἐν ἀντιγράφῳ συνημμένα δύο ἔγγραφα τῆς ἐπιτροπῆς τῶν ἀντιπροσώπων τῶν Κρητῶν, ἐξ ὧν τὸ μὲν εἶναι ἀντίγραφον τοῦ πρὸς διαφόρους προξένους πεμφθέντος ἐγγράφου [3], φέροντος τὰς ὑπογραφὰς τεσσαράκοντα δύο πληρεξουσίων, τὸ δὲ εἶναι ἀντίγραφον ἐγγράφου [4] αὐτῶν πρὸς τὸν Γενικὸν Διοικητὴν

M79). Ἡ ἡμερομηνία 4 Ἰουλίου, ἣν φέρει ἀντίγραφον ἀποσταλὲν εἰς τὴν Πρεσβείαν Κωνσταντινουπόλεως (ΑΥΕ/ΠΚ – M72/2688), εἶναι ἐσφαλμένη, διότι τὸ διαβιβαστικὸν αὐτοῦ (ΑΥΕ/ΠΚ – M72/2687) φέρει ἡμερομηνίαν 3 Ἰουλίου.

1. Νικόλαος Μουτσάκης ἢ Μουτσονικολάκης.

2. Χφ. *ἄγνωστοι.*

3. 1 Ἰουλίου 1866 : ΑΥΕ/ΠΚ – M72/2692· *Documents relatifs à l'Insurrection de Crète*, σσ. 60–61.

4. 1 Ἰουλίου 1866 : ΑΥΕ/ΠΚ – M72/2690· *Documents relatifs à l'Insurrection de Crète*, σσ. 61–63.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Κρήτης, δι' οὗ, παραπονούμενοι διὰ τὴν ἐκ μέρους τῆς Ὑψ. Πύλης βραδύτητα πρὸς ἀπάντησιν εἰς τὴν πρὸς τὸν Σουλτᾶνον ἀναφοράν των, διαμαρτύρονται κατὰ τῶν μέτρων τῆς τοπικῆς ἐξουσίας δι' ὧν αὕτη τείνει εἰς τὸ νὰ χαρακτηρίσῃ τὸ κίνημά των στασιαστικόν.

21

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

Ἀριθ. 368 *Χανιά, 11 Ἰουλίου 1866*

ΑΥΕ/ΚΥ – Μ1/25

Τὰ ἐνταῦθα πράγματα κατὰ τὴν ἑβδομάδα ταύτην ἔλαβον τροπήν τινα σπουδαιοτέραν. Ἐνῷ πανταχόθεν ἤρχοντο εἰδήσεις ἐνθαρρυντικαί, οἷον ὅτι ἡ Πύλη εἶναι ἀποφασισμένη νὰ δεχθῇ τὰ αἰτήματα τῶν Κρητῶν, ἀφοῦ τοῖς ἔδειξε διὰ τῶν στρατιωτικῶν της δυνάμεων ὅτι δὲν τοὺς φοβεῖται, ὅτι φθάνει ἀπεσταλμένος πρὸς ἐξέτασιν τῶν παραπόνων καί, τὸ σπουδαιότερον, ὅτι ὁ Αὐτοκράτωρ τῶν Γάλλων διέταξε τὸν ἐν Κωνσταν/λει Πρέσβυν του νὰ προστατεύσῃ παρὰ τῇ Ὑ. Πύλῃ τὰ δικαιώματα τῶν Κρητῶν, αἴφνης ὁ Ἰσμαὴλ Πασᾶς ἐνήργησε πράξεις δι' ὧν δεικνύεται ὄχι μόνον ὅτι οὐδεμία προσοχὴ ἐδόθη εἰς τὰ παράπονα τῶν Κρητῶν, ἀλλὰ εἰκάζεται ὅτι δι' αὐτῶν θέλει νὰ ὠθήσῃ τοὺς Χριστιανοὺς εἰς τὸ νὰ κάμωσι κίνημά τι, ἵνα ἐπιτύχῃ τρομερὰς ἐκδικήσεις.

Μετὰ τὴν εἰς τὸ χωρίον Κάμπους, θέσιν ἐπίκαιρον, ἀποστολὴν στρατοῦ, ὃν συνώδευσε καὶ ὁ φερὶκ (στρατηγός), αὐτὸς ὁ Ἰσμαὴλ Πασᾶς προέβη εἰς συλλήψεις προσώπων τινῶν ἐκ τῶν ἐχόντων ἐπιρροὴν εἰς τὸν τόπον καὶ τῶν λαβόντων κατὰ τὸ μᾶλλον ἢ ἧττον μέρος εἰς τὸ κίνημα.

Ὁ Χατζῆ Γεώργιος Κοκκινάκης, κάτοικος Ἁγίας Μαρίνης τῆς ἐπαρχίας Κυδωνίας, εἶναι εἷς ἐκ τῶν συνετωτέρων πατριωτῶν καὶ ὡς τοιοῦτος ἐξασκῶν ἐπιρροὴν εἰς τὸν τόπον. Διὸ καὶ ὁ Γεν. Διοικητὴς πάντοτε τὸν ἐπεριποιεῖτο. Οὗτος εἶχεν ἐκλεχθῆ ἀντιπρόσωπος τῶν Κρητῶν καὶ ὑπέγραψε καὶ αὐτὸς τὴν πρὸς τὸν Σουλτᾶνον ἀναφορὰν καὶ ἦτο μέλος τῆς ἐπιτροπῆς ἥτις ἐπαρουσίασεν αὐτὴν εἰς τὸν Διοικητήν. Ἦτο μεταξὺ τῶν προυχόντων οὓς ὁ Διοικητής, ὡς διὰ τῆς ὑπ' ἀριθ. 299 καὶ ἀπὸ 29 Μαΐου ἐ.ἔ. ἀναφορᾶς[1] μου ἔλαβον τὴν τιμὴν ν' ἀναφέρω εἰς τὸ Β. Ὑπουργεῖον, παραλαβὼν τοὺς μετέφερε χάριν περιποιήσεως, διὰ νὰ ἐπισκεφθῶσι τὸ ἐνταῦθα τότε προσωρινῶς ὑπάρχον ἀτμόπλοιον τοῦ Σουλτάνου. Ἀλλ' ὁ Χατζῆ Γεώργιος, ἀφοῦ ἐδόθη ἡ ἀναφορά, ἀπεσύρθη εἰς τὰ ἴδια, χωρὶς ν' ἀποτελῇ μέλος[2] τῆς διαρκοῦς Ἐπιτροπῆς καὶ χωρὶς νὰ πράξῃ τι δυνάμενον νὰ τὸν ἐνοχοποιήσῃ. Πρὸ τριῶν δὲ ἡμερῶν ἐλθὼν οὗτος εἰς τὴν πόλιν μετέβη κατὰ τὴν συνήθειάν του καὶ εἰς ἐπίσκεψιν τοῦ Γ. Διοικητοῦ, ὅστις τὸν ἐδέχθη καὶ τῷ προσέφερε καφέ. Ἀλλ' ἀφοῦ ἐξῆλθεν ἐκεῖθεν, συνελήφθη ὑπὸ τῶν ἀνθρώπων τῆς ἐξουσίας καὶ ἐφυλακίσθη,

1. Βλ. ἀνωτέρω, σσ. 35–39.
2. Χφ. *μέρος*· ἡ διόρθωσις ἐκ τοῦ σχεδίου (ΑΥΕ/ΠΧ – Μ53/1958).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

χωρὶς νὰ εἶναι ἐπιτετραμμένον εἰς οὐδένα νὰ λάβῃ μετ' αὐτοῦ συνέντευξιν. Αὐθημερὸν κατὰ διαταγὴν τοῦ Διοικητοῦ συνελήφθη καὶ ἕτερός τις Κοσκινᾶς, ὅστις εἰς τὰς ἀρχὰς τοῦ κινήματος εἶχε συνοδεύσει τὸν Χατζῆ Μιχάλην εἰς τὰς ἀνατολικὰς ἐπαρχίας, ὡς ἐν καιρῷ ἀνέφερον εἰς τὸ Β. Ὑπουργεῖον.

Προχθὲς ἱκανὸς ἀριθμὸς στρατιωτῶν μεταβὰς ἐν καιρῷ νυκτὸς εἰς τὸ χωρίον Γαλατᾶ, μίαν ὥραν ἀπέχον τῆς πόλεως, περιεκύκλωσε τὴν οἰκίαν τῶν ἀδελφῶν Σπυριδάκη, οἵτινες ἦσαν ἐκ τῶν ἀντιπροσώπων τῶν ὑπογραψάντων τὴν ἀναφορὰν καὶ διαμεινάντων ὀλίγον καιρὸν παρὰ τῇ Ἐπιτροπῇ, πρὸς τὸν σκοπὸν τοῦ νὰ τοὺς συλλάβῃ. Ἀλλ' οὗτοι εὐτυχῶς ἐννοήσαντες τὴν καταδίωξιν ἐδραπέτευσαν.

Τοιαῦται εἶναι αἱ πράξεις ἃς ὁ Γεν. Διοικητὴς κατὰ τὰς ἡμέρας ταύτας ἐνήργησε, καὶ οὐδεμία ἀμφιβολία ὅτι θέλει προσπαθήσει νὰ συλλάβῃ ὅσα πρόσωπα ἐκ τῶν ἐχόντων ἐπιρροὴν καὶ ἐνεργὸν μέρος εἰς τὸ κίνημα λαβόντων δυνηθῇ.

Ἅμα γενομένων τούτων, ἔλαβον συνέντευξιν μετὰ τῶν προξένων τῆς Ρωσσίας, Ἀμερικῆς, Ἰταλίας καὶ Αὐστρίας, οἵτινες ζωηρῶς συμπαθοῦν ὑπὲρ τῶν Χριστιανῶν καὶ φιλοτίμως πράττουσιν ὑπὲρ αὐτῶν ὅ,τι δυνηθῶσι, διὰ νὰ ἴδω ἂν εἶναι δυνατὸν νὰ κατορθωθῇ ἡ μεσολάβησις τοῦ προξ. σώματος, ἵνα ἐμποδισθῶσι πράξεις τοιαῦται, δυνάμεναι νὰ ἔχουν ἀξιοθρηνήτους συνεπείας καὶ πολλὰ μετ' αὐτῶν ἐλαλήσαμεν. Πλὴν οὐδεμία ἐνέργεια ἐγένετο, διότι, ἂν καὶ οἱ ἄλλοι πρόξενοι, Σουηδίας καὶ Ὁλλανδίας, καίτοι μὴ πολὺ σημαίνοντες ἠδύναντο νὰ εἶναι σύμφωνοι εἰς τὴν ἰδέαν ταύτην, οἱ πρόξενοι ὅμως Ἀγγλίας καὶ Γαλλίας εἶναι πάντῃ ἐναντίοι.

Ὁ τῆς Ἀγγλίας Πρόξενος Κος Δίξων, ὅτε προηγουμένως ὁ Γεν. Διοικητὴς ἐκάλεσε τὸ προξ. σῶμα (ὡς ἐν καιρῷ ἀνέφερα) καὶ ἠγέρθη τὸ ζήτημα ἂν ἔπρεπε τὸ προξενικὸν σῶμα νὰ λάβῃ τὴν συγκατάθεσιν τοῦ Διοικητοῦ ὅτι τὰ μέλη τῆς Ἐπιτροπῆς δὲν θέλουν ἐνοχληθῆ, ἀρκεῖ νὰ διαλυθοῦν, τότε ὁ Κος Δίξων ἔλεγεν ὅτι περιττὸν ἦτο νὰ τοῖς δοθῇ ὑπόσχεσις τοιαύτη, διότι οὐδὲν ἔχουσι νὰ φοβηθοῦν καὶ ὅτι, ἂν τυχὸν ὁ Διοικητὴς ἤθελε προβῇ εἰς μέτρα βίαια κατ' αὐτῶν, αὐτὸς θέλει παρέμβῃ καὶ προλάβει τὰς ἐκ μέρους τῆς ἐξουσίας ἀντεκδικήσεις. Ἤδη, ἀναμιμνῃσκομένων αὐτῷ[1] τῶν τότε παρ' αὐτοῦ λεχθέντων, ἀντιτάσσει ὅτι οὕτως θὰ ἐνήργει, ἐὰν ἔκτοτε ἡ Ἐπιτροπὴ διελύετο, νῦν ὅμως, μὴ τούτου γενομένου, θεωρεῖ ἑαυτὸν ἀπηλλαγμένον πάσης ὑποχρεώσεως. Ἀλλ' ὅταν ἐγὼ τῷ παρετήρησα ὅτι ὁ συλληφθεὶς Χατζῆ Γεώργιος εἶναι ἐκ τῶν ἀκολουθησάντων τὴν συμβουλήν του, διότι αὐτὸς ἅμα τῆς ἀναφορᾶς δοθείσης ἀπεσύρθη εἰς τὰ ἴδια, εἶπεν ὅτι ὅλοι ὤφειλον νὰ διαλυθοῦν.

Ἀφοῦ λοιπὸν οἱ δύο πρόξενοι τῶν μεγάλων προστατίδων δυνάμεων δὲν κρίνουν ἁρμόδιον νὰ παρέμβουν εἰς τὰς βιαίας ταύτας πράξεις τῆς ἐξουσίας, αἵτινες θὰ ἔχουν βεβαίως συνεπείας δεινάς, τότε ὁ κύριος Δενδρινός, ἀρχηγὸς τοῦ προξενικοῦ σώματος (doyen),

---

1. Ἐν τῷ σχεδίῳ : *ἀναμιμνῃσκομένου αὐτοῦ*. Διετηρήθη ἡ γραφὴ τοῦ πρωτοτύπου, ἂν καὶ συντακτικῶς ἰδιότυπος, ὡς ἀποδίδουσα τὸ ὀρθὸν νόημα.

Ακαδημία Αθηνών / Academy of Athens

δὲν θ' ἀποφασίσῃ νὰ συγκαλέσῃ τοὐλάχιστον ἐπὶ τοῦ παρόντος αὐτό, ὄχι μόνον διότι ἡ ἔλλειψις [ἀ]συμφωνίας θέλει μᾶλλον βλάψει ἀντὶ νὰ ὠφελήσῃ, ἀλλὰ καὶ διότι δυστυχῶς οἱ εἰρημένοι κύριοι ἐπιπολαίως κρίνοντες τὰ πράγματα νομίζουσιν ὅτι ὁ κ. Δενδρινὸς τὰ ὑποθάλπει. Τὸ λυπηρὸν εἶναι ὅτι οὐδεὶς τῶν προξένων ἔλαβεν ἐκ τῆς προϊσταμένης του ἀρχῆς, καθ' ὅσον γινώσκω, οὔτε ὁδηγίαν οὔτε ἐνθάρρυνσιν εἰς τὸ νὰ προστατεύσῃ τὸ κίνημα τῶν Κρητῶν.

Καὶ ἐγὼ καὶ ὅλοι οἱ φρόνιμοι καὶ εἰλικρινῶς ἀγαπῶντες τοὺς Κρῆτας τοὺς συνεβούλευσαν ν' ἀποφύγουν πᾶσαν ρῆξιν, νὰ κατευνάζουν τὰ πάθη καὶ ἰδίως ἡ 'Επιτροπὴ νὰ μὴ δώσῃ τὴν ἐλαχίστην ἀφορμήν. 'Αλλὰ δύναται ἆρά γε νὰ προληφθῇ πᾶσα τοιαύτη περιπλοκή ; Οὐδεὶς δύναται ν' ἀπαντήσῃ καταφατικῶς. Εἰς τὴν κατάστασιν εἰς ἣν εὑρίσκονται τὰ πνεύματα, ἂν ὁ Γεν. Διοικητὴς προβῇ καὶ εἰς ἄλλας συλλήψεις προσώπων ἐχόντων σημασίαν, θαῦμα θὰ εἶναι ἂν ὁ λαὸς δὲν λάβῃ τὰ ὅπλα.

Προχθὲς εἶχε διαδοθῇ ὅτι στρατιῶται μετέβησαν εἰς τὸ ἀπόκεντρον μέρος εἰς ὃ ἡ 'Επιτροπὴ διαμένει (Τζιτζιφέ), ἵνα περικυκλώσουν [1] αὐτήν. Ἡ ψευδὴς αὕτη φήμη διεδόθη ὡς ἀστραπὴ καὶ ἀμέσως ὑπὲρ τοὺς 500 ἐνόπλους ἔσπευσαν εἰς τὸ μέρος ἐκεῖνο πρὸς ὑπεράσπισίν της. 'Εδέησε δὲ ἡ 'Επιτροπὴ αὕτη νὰ πέμψῃ ἀπεσταλμένους, διὰ νὰ καθησυχάσῃ τοὺς ὁπλισθέντας καὶ νὰ προτρέψῃ τοὺς προσερχομένους ν' ἀποσυρθῶσιν εἰς τὰ ἴδια.

Τὸ δυστύχημα [2] εἶναι ὅτι οὔτε αἱ περιστάσεις τῆς Εὐρώπης εἶναι πρόσφοροι, οὔτε οἱ Κρῆτες εἶναι παρεσκευασμένοι εἰς ἐπιχείρησιν τοσούτου ⟨sic⟩ τολμηροῦ κινήματος. Λυπηρὸν δ' ὅτι οὐδὲ πολεμεφόδια ἔχουσιν οὐδὲ χρήματα, τὰ δὲ ὅπλα των εἶναι τὰ παλαιὰ ἐκεῖνα, ἐνῷ οἱ ἀντίπαλοί των εἶναι ἐντελῶς ἐφωδιασμένοι ἐξ ὅλων. Προχθὲς πάλιν ἔφθασε φρεγάτα ἐκ Κωνσταντιν/λεως κομίσασα δύο τάγματα, ἵππους τινὰς καὶ διάφορα χρειώδη ἀντικείμενα. 'Εκτὸς τούτων καὶ ἀτάκτους τινὰς 'Αλβανοὺς εὑρισκομένους ἐνταῦθα κατέταξαν εἰς τὸν τακτικὸν στρατόν.

Εἶχα γράψει τὰ ἀνωτέρω, ὅτε χθὲς τὸ ἑσπέρας εἶδον τὸν Πρόξενον τῆς 'Αμερικῆς Κον Στήλμαν, παρ' οὗ ἐπληροφορήθην ὅτι ὁ τῆς 'Αγγλίας κύριος Δίξων μετήλλαξε γνώμην καὶ εὐδιάθετος εἶναι καὶ αὐτὸς εἰς τὸ νὰ συνέλθῃ τὸ προξενικὸν σῶμα καὶ κάμῃ τὰς δεούσας παραστάσεις εἰς τὸν Γεν. Διοικητὴν διὰ τὰς γενομένας συλλήψεις. Συνενοήθην ἀμέσως μετὰ τῶν κυριωτέρων προξένων καὶ ἐλπίζω αὔριον, καθότι σήμερον εἶναι ἡμέρα τῆς ἀναχωρήσεως τοῦ ταχυδρομείου, νὰ συνέλθωμεν.

---

1. Χφ. *περικυκλώσῃ*.
2. Χφ. *τὸ δύστυχον· ἡ διόρθωσις ἐκ τοῦ σχεδίου.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

22

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

'Αριθ. 381 *Χανιά, 16 'Ιουλίου 1866*

ΑΥΕ/ΚΥ – Μ1/31

Οἱ Κρῆτες μετασχόντες μετὰ τῶν λοιπῶν Ἑλλήνων τοῦ κατὰ τὸ 1821 μεγάλου καὶ ἱεροῦ ἀγῶνος δὲν ἔμειναν ὑποδεέστεροι αὐτῶν οὔτε κατὰ τὸν πατριωτισμὸν καὶ τὰς θυσίας οὔτε κατὰ τὴν καρτερίαν καὶ τὰ κατορθώματα. Γενόμενοι κύριοι ἀλληλοδιαδόχως κατὰ μέγα μέρος τῆς νήσου εἶχον εἰς τὴν ἐξουσίαν των καὶ τὸ ἀπόρθητον φρούριον τῆς Γραμβούσης. Τοῦτο μαρτυρεῖ ἡ ἱστορία.

Ὅτε αἱ τρεῖς μεγάλαι καὶ προστάτιδες δυνάμεις ἀναδεχθεῖσαι τὴν ὑπεράσπισιν τῶν Ἑλλήνων ἀπεφάσισαν ὑπὲρ τῆς τύχης τῆς νῦν ἐλευθέρας Ἑλλάδος, οἱ Κρῆτες ἔχοντες ἴσα μετὰ τῶν λοιπῶν Ἑλλήνων δικαιώματα προσεδόκων βεβαίως ὅτι καὶ αὐτοὶ ἤθελον τύχει τῆς ἀνεξαρτησίας των, ὑπὲρ ἧς τὰ πάντα εἶχον ριψοκινδυνεύσει, ἀλλὰ δυστυχῶς αἱ ἐλπίδες των ἐψεύσθησαν καὶ ἔμειναν ἔκπληκτοι, ὅτε τέλος ὁριστικῶς κατὰ τὸ 1830 ἀπεφασίσθη ν' ἀποκλεισθῶσιν ἀπὸ τὰ ὅρια τοῦ Βασιλείου τῆς Ἑλλάδος, καὶ μετὰ δακρύων παρεχώρησαν ὑπείκοντες εἰς τὴν ἄκαμπτον θέλησιν τῶν τριῶν δυνάμεων τὸ εἰς τὴν κατοχήν των φρούριον. Ἐν τούτοις παρεκάλεσαν καὶ αὖθις δι' ἀναφορῶν των πρὸς τοὺς τότε ναυάρχους τῶν τριῶν μεγάλων δυνάμεων καὶ πρὸς τὰς βουλὰς Ἀγγλίας καὶ Γαλλίας καὶ διεμαρτυρήθησαν (ὅρα τὰς ἀπὸ 18 Ἰουνίου 1830 ἀναφορᾶς [1] των).

Αἱ τρεῖς μεγάλαι δυνάμεις συναισθανόμεναι τὴν ἀδικίαν συνωμολόγησαν διὰ πρωτοκόλλων καὶ ἠγγυήθησαν ὑπὲρ τῶν Κρητῶν, ὡς καὶ ὑπὲρ τῶν Σαμίων, πᾶσαν ἀσφάλειαν ἐναντίον πάσης ἐκ μέρους τῆς Πύλης ἐκδικήσεως, παραχωρουμένων εἰς αὐτοὺς προνομίων, θέλουσαι διὰ τοῦ μέσου τούτου νὰ προσφέρωσιν ἀποτελεσματικὴν προστασίαν εἰς τοὺς λαοὺς τούτους κατὰ πάσης αὐθαιρεσίας καὶ καταθλίψεως (ὅρα τὰ ἀπὸ 8 Ἀπριλίου 1830 [2] [πρωτόκολλον] καὶ [τὸ] ἀπὸ 20 Φεβρουαρίου 1830 [3] ἐν Λονδίνῳ πρωτόκολλα).

Χιλιάδες πολλαὶ Κρητῶν εἶχον καταφύγει εἰς τὴν Ἑλλάδα καὶ ἄλλοι μὲν ἰδόντες τὰς ἐλπίδας των ψευσθείσας ἐπανῆλθον ἔκτοτε φέροντες μεθ' ἑαυτῶν ἔτι ζωηρότερον τὸν πρὸς τὴν ἀνεξαρτησίαν τῆς πατρίδος των ἔρωτα, ἐξαφθέντα ἔτι μᾶλλον ἐκ τῆς ἐλευθερίας καὶ τῶν πλεονεκτημάτων ἅτινα οἱ Ἕλληνες ἀπολαμβάνουσιν, ἄλλοι δ' ἀποκατεστάθησαν εἰς τὴν Ἑλλάδα, πλὴν δὲν παύουσιν αὐτοὶ καὶ τὰ τέκνα των ἐστραμμένα ἔχοντες

---

1. Κ. Κριτοβουλίδου, *'Απομνημονεύματα τοῦ περὶ αὐτονομίας τῆς Ἑλλάδος πολέμου τῶν Κρητῶν*, 'Αθῆναι 1859–1860, Παράρτημα, σσ. 38 κ.ἑ.

2. 'Α. Σούτσου, *Συλλογὴ τῶν εἰς τὸ ἐξωτερικὸν δημόσιον δίκαιον τῆς Ἑλλάδος ἀναγομένων ἐπισήμων ἐγγράφων*, ἑλληνιστὶ καὶ γαλλιστί, 'Αθῆναι 1858, σσ. 140–146.

3. Σούτσου, *ἔ.ἀ.*, σσ. 176–178.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τὰ πρὸς τὴν γενέτειραν νῆσον βλέμματά των καὶ εἰς στενὰς σχέσεις μετὰ τῶν συμπατριωτῶν ὑπάρχοντες.

Ἡ ἐπάνοδος τῆς Κρήτης εἰς τὸν ὀθωμανικὸν ζυγὸν ἦτο ἐναντίον τῆς φύσεως τῶν πραγμάτων. Διὸ συνέπεια ἀναπόφευκτος, διαλαθοῦσα τὴν σοφίαν τῶν τριῶν μεγάλων δυνάμεων, ἦτο νὰ μὴ μείνῃ οὐδέποτε ὁ τόπος ἥσυχος. Καὶ τῷ ὄντι, τοῦτο 35 ἐτῶν ἱστορία τὸ διδάσκει. Πόσον λοιπὸν δίκαιον εἶχεν ὁ ἀείμνηστος Καποδίστριας ἀποκρούσας διὰ τῶν κατὰ τὴν ἐποχὴν ἐκείνην ὑπομνημάτων του τὴν ἀπόφασιν τῶν δυνάμεων ὡς ὀλεθρίαν διὰ τὸν τόπον!

Ἀφοῦ ὁριστικῶς ὑπεβλήθη ἡ Κρήτη εἰς τὴν κυριαρχίαν τοῦ Ἀντιβασιλέως τῆς Αἰγύπτου, ὀλίγον μετὰ ταῦτα, ἤτοι τῷ 1833, ἐπανάστασις κατὰ τῆς ἐξουσίας ἐγένετο, πνιγεῖσα εἰς τὸ αἷμα. Ἀκόμη ἐνθυμοῦνται οἱ γεροντότεροι τὰ θύματα τῶν ἀπαγχονισθέντων εἰς χωρίον Μουρνιαΐς. Τῷ 1840 ἑτέρα ἐπανάστασις ἐπίσης ἐγένετο, πνιγεῖσα καὶ αὕτη καὶ καθησυχάσασα διὰ τῆς παρεμβάσεως τῶν μεγάλων δυνάμεων.

Ἐν τούτοις οἱ Κρῆτες βλέποντες ὅτι δὲν δύνανται ν' ἀνακτήσωσι τὴν πλήρη ἐλευθερίαν των ἀπεφάσισαν νὰ ζητήσωσι τοὐλάχιστον τὴν πραγματοποίησιν τῶν διὰ τῶν μνησθέντων πρωτοκόλλων ὑποσχεθέντων αὐτοῖς ἀπὸ τὰς αὐτὰς μεγάλας δυνάμεις προνομίων, τὰ ὁποῖα οὐδέποτε τοῖς εἶχον [1] δοθῆ. Διὸ κατὰ τὸ 1858 κίνημά τι εἰρηνικὸν καὶ ἐν μέρει στασιαστικὸν ἔκαμον ζητοῦντες τὴν παραχώρησιν προνομίων. Ἡ Πύλη δι' ὑποσχέσεων ἔλυσε τὸ ζήτημα, πλὴν κατ' οὐσίαν οὐδὲν παρεχώρησεν. Ὅ,τι ἔδωκε διὰ τῆς μιᾶς χειρὸς ἀφῄρεσε διὰ τῆς ἑτέρας, τὸ δὲ διαβόητον Χάττ - Χουμαγιοὺν κατ' οὐδὲν ἐφηρμόσθη.

Κατὰ τὸ παρελθὸν ἔτος πάλιν δι' ἀναφορᾶς ἐζήτησαν τὴν πραγματοποίησιν τῶν ὑποσχεθέντων καὶ τὴν ἐκτέλεσιν τοῦ Χάττ - Χουμαγιούν, πλὴν οὐδεμία προσοχὴ ἐδόθη εἰς τὰς αἰτήσεις των.

Ἐφέτος πάλιν τὰ αὐτὰ ζητοῦν, ἀφ' οὗ δὲν εὗρον εὐνοϊκὴν τὴν περίστασιν νὰ ζητήσουν τι πλειότερον. Ὁ θέλων ἀμερολήπτως νὰ κρίνῃ τὰ πράγματα καὶ νὰ εἰσχωρήσῃ εἰς τὸ πνεῦμα τῶν κατοίκων δὲν θέλει εὕρει εἰμὴ ἕνα καὶ μόνον πόθον εἰς τὰς καρδίας των, τοῦ ν' ἀνακτήσωσι τὴν ἀνεξαρτησίαν των καὶ πάλιν οὐχὶ οἱανδήποτε ἀνεξαρτησίαν, εἰμὴ νὰ ἑνωθῶσι μετὰ τῆς Ἑλλάδος. Οὗτος εἶναι ὁ μόνος πόθος καὶ τὸ μόνον ὄνειρόν των, εἰς δὲ τὸν πόθον αὐτὸν εἶναι ἕτοιμοι νὰ θυσιάσωσι κατὰ πᾶσαν στιγμὴν τὰ πάντα. Ὁ νέος, ἅμα ἐννοήσῃ τὸν κόσμον, αὐτὴ ἡ ἰδέα τῷ ἐγείρεται πρώτη, διὸ καὶ τὸ πρῶτον κτῆμα ὅπερ θέλει ν' ἀποκτήσῃ εἶναι ν' ἀποκτήσῃ ὅπλα. Τοῦτο εἶναι ὁ καλύτερος στολισμός του. Τὰ δὲ μόνα ἐφόδια ἃ ἔχουσιν εἶναι πυρῖτις καὶ μόλυβδος, διασκέδασις δὲ ἡ σκοποβολή. Ὅθεν, οὐδέποτε οἱ Κρῆτες θ' ἀνεχθῶσιν, ἄν ποτε ἡ ἐξουσία θελήσῃ, νὰ τοὺς ἀφαιρεθῶσι τὰ ὅπλα. Ἐν ὅσῳ ἔχουσιν αὐτά, ἐλπίζουσιν ὅτι θέλουσι δι' αὐτῶν ἀποκτήσει τὴν ἐλευθερίαν των, ὅταν δὲ τὰ χάσωσι, πᾶσα τοιαύτη ἐλπὶς ἐξέλιπε δι' αὐτούς.

---

1. Χφ. *εἶχε*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Οἱ Κρῆτες εἶναι λαὸς ἀφελής, ἀμαθής, φαντασίας πλήρης, ζωηρός, γενναῖος καὶ εἰς ἄκρον πατριώτης καὶ θρῆσκος. Ἐν τῇ ἀφελείᾳ των πολλάκις ἐνώπιον ἀρχῶν ὀθωμανικῶν ὁρκίζονται λέγοντες «Τοῦρκοι ν' ἀποθάνουν». Ἄλλοτε ἄλλος τις ἐκ τῶν ἐχόντων ἐπιρροὴν εἰς τὸν τόπον, ἄνθρωπος ἁπλοῦς καὶ ἀγνοῶν τὴν τέχνην τοῦ περιποιεῖσθαι, ἐνῷ ὁ Γεν. Διοικητὴς προσεπάθει νὰ τὸν πείσῃ ὅτι οἱ Κρῆτες δὲν πληρώνουσι πολλοὺς φόρους, ὅπως πληρώνουσιν οἱ Ἄγγλοι ἢ οἱ Γάλλοι, «καλά», εἶπεν, «πληρώνουν ἐκεῖνοι πολλοὺς φόρους, ἀλλὰ δὲν τοὺς πληρώνουν εἰς τοὺς ξένους». Ἄλλος πάλιν εἶπεν εἰς ἕνα πρόξενον ξένης δυνάμεως, λέγοντα ὅτι οἱ Κρῆτες δὲν πληρώνουν εἰμὴ ἐλάχιστον μέρος τῶν ὅσων πληρώνουν ἀλλαχοῦ : «Μάλιστα καὶ ἡμεῖς ἀγογγύστως θὰ ἐπληρώναμεν ὅ,τι θέλετε, ἀλλ' ἂν τὰ ἐπληρώναμεν εἰς τὸ ἔθνος μας» κλπ.

Τοιαῦτα εἶναι τὰ αἰσθήματα τοῦ λαοῦ, ἅτινα οὐδεμία δύναμις δύναται νὰ τὰ ἐκριζώσῃ. Μολοντοῦτο, ἐὰν ὑπῆρχεν εὐνομία ἢ ὀργανισμός τις πολιτικὸς ὁπωσοῦν ὑποφερτός, ἀπονομὴ δικαιοσύνης, ἐλευθερίαι τινές, ἂν ἡ φορολογία ἦτο μετριωτέρα, ἐὰν ἀπελάμβανεν ὁ λαὸς ὑλικά τινα ἀγαθά ἐξ ὅσων οἱ ἄλλοι λαοὶ ἀπολαμβάνουσιν, ἡ εὐζωία αὕτη ἠδύνατο νὰ τοὺς κάμῃ νὰ λησμονήσουν πρὸς καιρὸν τὰ ὑψηλότερα αἰσθήματά των. Δυστυχῶς ὅμως ἢ εὐτυχῶς τοῦτο δὲν ὑπάρχει. Διότι ὄχι μόνον οὐδὲν προνόμιον συμφώνως μὲ τὴν ἔννοιαν τῶν εἰρημένων πρωτοκόλλων δὲν τοῖς ἐδόθη, ἀλλ' οὐδὲ τὸ διαβόητον Χάττ-Χουμαγιοὺν οὐδέποτε ἐφηρμόσθη. Ἑπομένως ὁ τόπος οὐδέποτε θέλει ἡσυχάσει.

Ἀληθὲς εἶναι ὅτι καὶ ἄλλοι λαοὶ τῆς Τουρκίας δὲν χαίρουσι μεγαλύτερα πλεονεκτήματα τῶν Κρητῶν. Τοῦτο εἶναι ἀληθές, ἀλλά, ἐξ ὅσων εἴρηται, ἡ θέσις τῆς Κρήτης εἶναι ἐξαιρετικὴ καὶ τὴν συναίσθησιν τῶν πρὸς αὐτοὺς ἀδικημάτων καὶ καταπιέσεων τῆς ἐξουσίας αὐξάνει ἡ συνεχὴς καὶ ἀδιάκοπος ὡς ἐκ τῆς γειτονεύσεως τῶν δύο χωρῶν συνάφεια τῶν Κρητῶν μετὰ τῶν Ἑλλήνων.

Δυστυχῶς ὅμως διὰ τὸν ὡραῖον τοῦτον τόπον, ἰδοὺ ἐν συντόμῳ διατί οὐδὲν ἀγαθὸν ἀπολαμβάνουσι :

1) Ἡ δικαιοσύνη εἶναι ἄγνωστος, νόμος δὲν ὑπάρχει εἰμὴ οἱ παλαιοὶ ἐκεῖνοι θρησκευτικοὶ τῶν Μουσουλμάνων. Ὑπάρχει ἀτελής τις ἐμπορικὸς νόμος ἐκ τοῦ βελγικοῦ ἐξηγμένος, ὅστις, ἂν ἐφηρμόζετο, καλὸς θὰ ἦτο διὰ τὰς ἐμπορικὰς σχέσεις, ἀλλὰ ποῦ δικασταὶ νὰ τὸν ἐννοήσουν καὶ νὰ τὸν ἐφαρμόσουν! Ὁ ἔχων λοιπὸν δίκαιον συνήθως δὲν δύναται νὰ κερδίσῃ, εἰμὴ ἂν εἶναι ἰσχυρὸς ἢ ἂν πλειότερα προσφέρῃ. Ποινικὸς κῶδιξ ὑπάρχει ἐν ἰσχύι, ἀλλ' οὐδεὶς νόμος ἐξασφαλίζων ἢ ἐγγυώμενος τὴν ἐκτέλεσίν του ὑπάρχει, οὐδεὶς διαδικασίας κανὼν εἶναι γνωστός. Διαδικασία εἶναι ἡ αὐθαίρετος θέλησις τοῦ Διοικητοῦ. Ὅ,τι αὐτὸς πράττει εἶναι καλῶς πεπραγμένον, εἰς οὐδένα δίδει λόγον, φυλακίζει ὅντινα θέλει ἀδιαφόρως ἂν ἐγκλημάτησεν ἢ ὄχι, καταργεῖ ἀποφάσεις δικαστηρίων, απονέμει χάριτας καὶ ἐν γένει κάμνει ὅ,τι θέλει, χωρὶς νὰ δίδῃ εὐθύνην εἰς οὐδένα. Μόνον θανατικὴν ποινὴν δὲν δύναται νὰ ἐπιβάλῃ. Λοιπὸν ἡ πρώτη βάσις πάσης εὐνομουμένης πολιτείας, ἡ ἀπονομὴ τῆς δικαιοσύνης καὶ ἡ ἀσφάλεια τῆς προσωπικῆς ἐλευθερίας, ἐντελῶς ἐλλείπει.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

2) Καὶ διὰ τοῦ Χάττ - Χουμαγιοὺν καὶ διὰ τῶν κατὰ τὸ 1858 γενομένων παραχωρήσεων καθιεροῦται ἡ ἀνεξιθρησκία. Καὶ ὅσον μὲν ἀφορᾷ τὴν τέλεσιν τῶν θρησκευτικῶν ἔργων, οὐδὲν πρόσκομμα ὑπάρχει. Ἐπίσης καὶ ἐλεύθερος εἶναι ὁστισδήποτε νὰ ἐκλέγῃ τὴν ὁποίαν θέλει θρησκείαν. Εἶχεν ὅμως ἀποφασισθῆ ὅτι ἐν περιπτώσει μεταβολῆς θρησκείας πρὸς ἀποφυγὴν σκανδάλου ν' ἀποπέμπεται τῆς νήσου, πλὴν τοῦτο δὲν γίνεται ἐν γένει, διότι, ἂν μὲν Χριστιανὸς γίνῃ Ὀθωμανός [1], μένει ἐνταῦθα ἀνενόχλητος, Ὀθωμανὸς ὅμως γενόμενος Χριστιανὸς ἀποπέμπεται τῆς νήσου καὶ στερεῖται παντὸς κληρονομικοῦ δικαιώματος. Διὰ τοῦ μέσου λοιπὸν τούτου ἡ ἀνεξιθρησκία ματαιοῦται.

3) Διὰ τῶν κατὰ τὸ 1858 παραχωρήσεων ὑπεσχέθη ἡ Πύλη ὅτι φόρος διὰ κρασία, αἰγιδοπρόβατα, μελίσσια καὶ τὰ παρόμοια δὲν θὰ ἐπιβληθῇ. Ἐν τούτοις ἡ Πύλη ὑπεκφεύγουσα, ἐπιβάλλει ὑπὸ ἄλλο ὄνομα νέου εἴδους φόρους βαρυτέρους, οἷον φόρον [2] ἐπὶ ἅλατος, ἐπὶ οἰνοπωλείων κλπ., περὶ οὗ γίνεται λεπτομερέστερος λόγος ἐν τῇ ἀναφορᾷ πρὸς τὸν Σουλτᾶνον.

4) Καθιερώθη προσέτι ὅτι οἱ δημογέροντες σύμβουλοι ἑκάστης ἐπαρχίας θέλουν ἐκλέγεσθαι ἀπὸ τὸν λαόν. Ἀλλὰ τὶ συμβαίνει ; Πρῶτον αἱ ἐκλογαὶ αὐτῶν γίνονται ἀτελεῖς, δηλ. συνέρχονται οἱ βουλόμενοι εἴς τινα ἐκκλησίαν καὶ μετὰ πολλὰς φιλονεικίας ἐκλέγουν ἕνα. Ἂν ὅμως ὁ ἐκλεχθεὶς δὲν εἶναι ἀρεστὸς εἰς τὸν Διοικητήν, δὲν γίνεται δεκτὸς ἢ ἂν δεκτὸς γενόμενος, δυσαρεστημένος κατόπιν, παύεται ⟨sic⟩ [3].

5) Ἵνα ἴδῃ τις ὅτι καὶ οἱ φόροι εἶναι δυσανάλογοι καὶ ἐπαχθεῖς, ἀρκοῦν οἱ κατωτέρω ἀριθμοί. Οἱ πληρωθέντες κατὰ τὰ δύο ἔτη 1864 καὶ 1865 φόροι ἀνέβησαν εἰς γρ. 54.390.000, ἤτοι διὰ τὸ ἓν ἔτος εἰς 27.185.000 [4] γρόσια. Ἐν τούτοις ἡ ὅλη ἐξαγωγὴ τῆς νήσου κατὰ μὲν τὸ 1861 ἀνέβη εἰς 8.079.000 φράγκα, ἤτοι γρόσια 32.316.000, κατὰ δὲ τὸ 1862 εἰς φράγκα 26.841.500, ἤτοι γρ. 106.976.000. Οἱ ἀριθμοὶ περὶ τῆς ἐξαγωγῆς ἐξήχθησαν ἐκ τοῦ Γαλλικοῦ Προξενείου, οἱ δὲ ἄλλοι ἐκ τῶν ἐνταῦθα διαφόρων ἀρχῶν. Ἐκ τούτων τῶν ἀριθμῶν δύναται πᾶς τις νὰ κρίνῃ.

Ταῦτα εἶναι τὰ κυριώτερα παράπονα τῶν Κρητῶν κλπ. ἐν τῇ πρὸς τὸν Σουλτᾶνον ἀναφορᾷ των περιεχόμενα.

Οἱ Κρῆτες, ὡς ἔλαβον τὴν τιμὴν νὰ εἴπω, ἄλλο δὲν σκέπτονται εἰμὴ πότε νὰ δοθῇ περίστασις, ἵνα ἀποτινάξωσι τὸν τουρκικὸν ζυγόν. Πᾶν πολιτικὸν συμβὰν τοὺς ἠλεκτρίζει, ἰδίως δὲ ἀνὰ πᾶσαν ἄνοιξιν εἶναι ἕτοιμοι, ἀρκεῖ νὰ εὕρωσι κάποιαν ἐνθάρρυνσιν. Καὶ ἐφέτος λοιπόν, ἰδόντες ὅτι ὑπῆρξαν προμηνύματά τινα ἐκρήξεως εὐρωπαϊκοῦ πολέμου, ἤρχισαν καὶ αὐτοὶ νὰ ἐργάζωνται (ὅρα τὴν πρὸς τὸν κ. Ὑπουργὸν ἐμπιστευτικὴν ἀνα-

---

1. Διὰ τοῦ ἐθνικοῦ *Ὀθωμανὸς* δέον νὰ νοηθῇ ἐνταῦθα τὸ θρησκευτικὸν *Μουσουλμᾶνος*.
2. Χρ. *φόρος*.
3. Ἡ φράσις θὰ ἠδύνατο νὰ διορθωθῇ ὡς ἑξῆς : « . . . δὲν γίνεται δεκτός, ἢ ἂν γίνῃ δεκτός, δυσαρεστουμένου κατόπιν τοῦ Διοικητοῦ, παύεται».
4. Τὸ ὀρθρόν : 27.195.000.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

φοράν μου ἀπὸ...[1] 1866). Ἀλλὰ καὶ ἐγώ, συμφώνως μὲ τὰς ὁδηγίας ἃς ἔλαβον, καὶ ἄλλοι συνετοὶ ἄνθρωποι τοὺς ἀπέτρεψαν ἀπὸ ἐπιχείρησιν κινήματος τοσοῦτον σπουδαίου καὶ τοσοῦτον ριψοκινδύνου καὶ ἐν στιγμῇ ἀκαταλλήλῳ.

Ἀφοῦ ὅμως συνενοήθησάν τινες ἐξ αὐτῶν, συνῆλθον καὶ τὰ πνεύματα ἐξήφθησαν, δὲν ἦτο ⟨δὲ⟩ εὔκολον νὰ ὀπισθοχωρήσωσιν, ἔκριναν καλὸν τοὐλάχιστον νὰ δώσωσι τροπήν τινα ἧττον σπουδαίαν εἰς τὸ κίνημα, νὰ ζητήσωσι μεταρρυθμίσεις. Ἀλλὰ μετὰ πεποιθήσεως σᾶς διαβεβαιῶ, Ἐξοχώτατε, ὅτι οἱαδήποτε μεταρρυθμίσεις καὶ ἂν χορηγηθῶσιν εἰς τὸν τόπον, οἱαδήποτε προνόμια, ἡ ἡσυχία δὲν θέλει ὑπάρχει εἰμὴ κατ' ἐπιφάνειαν. Ἡσυχία καὶ τάξις ὁριστικὴ θὰ ἐπέλθῃ, ὅταν ἡ Κρήτη λάβῃ τὴν οἰκείαν της θέσιν εἰς τὸ ἑλληνικὸν οἰκοδόμημα, οὗτινος ὁ πρῶτος λίθος ἐτέθη τὴν 25 Μαρτίου 1821.

Ἴσως ἀντιτάξῃ τις κατὰ τῆς τοιαύτης μεταβολῆς τῶν πραγμάτων τὸ ἐπιχείρημα ὅπερ, καθ' ἣν ἐποχὴν τὰ τῆς Ἑλλάδος ὅρια ἐκανονίσθησαν, ἐπροτάθη, ἂν δὲν ἀπατῶμαι, ὅτι, κατοικουμένης τῆς Κρήτης ὑπὸ πλειοτέρων τὸν ἀριθμὸν Μωαμεθανῶν, ἡ μεταβολὴ τοῦ καθεστῶτος θέλει γεννήσει νέας καὶ σπουδαίας δυσχερείας. Τὸ ἐπιχείρημα τοῦτο, ἂν τότε ἦτο ὀρθόν, σήμερον ὅμως εἶναι ἀνυπόστατον.

Κατὰ τὰς ἀρχὰς τοῦ παρόντος αἰῶνος, ὡς μαρτυροῦσι διάσημοι περιηγηταί, ἂν ἡ μαρτυρία των ὑποτεθῇ ἀληθής, ἡ Κρήτη ἐκατοικεῖτο ἐκ 300 χιλιάδων ψυχῶν, ἐξ ὧν μόνον 100 χιλιάδες ἦσαν Χριστιανοί. Τίς ἡ ἀριθμητικὴ σχέσις τῶν δύο φυλῶν κατὰ τὰς ἀρχὰς τοῦ 1821 ἀκριβῶς δὲν γινώσκω. Σήμερον ὅμως βέβαιον εἶναι ὅτι οἱ Τοῦρκοι δὲν ἀποτελοῦσιν εἰμὴ μόλις τὸ ἓν τέταρτον τοῦ πληθυσμοῦ, καθότι ὑπολογίζουσιν ὅτι οὗτος ἀναβαίνει εἰς 300.000 ψυχῶν, ἐξ ὧν 60–65 χιλιάδες εἶναι Ὀθωμανοί. Ἔπειτα οἱ Ὀθωμανοὶ τῆς Κρήτης κατ' οὐδὲν διαφέρουσι τῶν Χριστιανῶν εἰμὴ μόνον κατὰ τὸ θρήσκευμα καὶ τὸ ἐθνικὸν αἴσθημα, εἰδεμὴ γλῶσσα, ἤθη, ἔθιμα, χαρακτὴρ εἶναι ὁ αὐτός. Ἔπειτα καὶ τὰ θρησκευτικὰ πάθη δὲν εἶναι μεταξὺ αὐτῶν τόσον ζωηρά. Συνεχῶς βλέπετε Τούρκους τῆς κατωτέρας τάξεως νυμφευομένους χριστιανὰς γυναῖκας ⟨καὶ⟩ τὸ ἀνάπαλιν. Κατοικοῦσιν ἀνάμεικτοι εἰς τὰς αὐτὰς συνοικίας Χριστιανοὶ καὶ Ὀθωμανοί. Οἱ Τοῦρκοι ἐνταῦθα κάμνουσι χρῆσιν τοῦ οἴνου ὡς οἱ Χριστιανοὶ καὶ δὲν τηροῦσι τόσον αὐστηρῶς τὰς θρησκευτικὰς νηστείας κλπ.

Πᾶσα λοιπὸν μεταβολὴ θέλει βεβαίως ἐνοχλήσει καὶ λυπήσει τοὺς Ὀθωμανούς, διό καί τινες ἴσως, οἱ φανατικώτεροι, θὰ ἐγκαταλείψουν τὴν νῆσον, οἱ λοιποὶ ὅμως θὰ μείνωσιν ἐπὶ τὸ αὐτὸ καί, ὅταν συνηθίσωσιν εἰς τὴν ἰδέαν καὶ ἴδωσιν ὅτι δὲν θὰ κατακτηθῶσιν ὑπὸ τῆς ἑτέρας φυλῆς, ἀλλ' ὅτι θέλουσιν εἶσθαι ἴσοι μὲ αὐτούς, ὅταν ἴδωσιν ὅτι οἱ Χριστιανοὶ οὐδὲν προνόμιον θὰ ἔχωσιν ὑπέρτερον αὐτῶν, ὑπείκοντες εἰς τὸ πεπρωμένον, θέλουσιν εὐχαριστηθῇ καὶ ἀδελφοποιηθῇ. Διὰ δὲ τῆς παρελεύσεως ὀλίγου χρόνου ὅλοι σχε-

---

1. Κενὸν καὶ ἐν τῷ πρωτοτύπῳ καὶ ἐν τῷ σχεδίῳ (ΑΥΕ/ΠΧ). Πιθανώτατα πρόκειται περὶ τῆς ὑπ' ἀριθ. 232, ἀπὸ 9 Ἀπριλίου 1866 ἀναφορᾶς τοῦ Σακοπούλου (βλ. ἀνωτέρω, σ.σ. 5–10).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

δὸν θέλουν δεχθῆ τὸν Χριστιανισμόν, ἐξ οὗ κατὰ τὸ πλεῖστον κατάγονται, καὶ ἐντελῶς συγχωνευθῆ.

Οὕτω πως ἐγὼ ἀντελήφθην τὸ πνεῦμα τῶν κατοίκων καὶ τὴν κατάστασιν τοῦ τόπου καὶ ἐλπίζω ὅτι δὲν εὑρίσκομαι εἰς τὴν ἀπάτην.

23

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

Ἀριθ. 383 *Χανιά, 17 Ἰουλίου 1866*

ΑΥΕ/ΚΥ – Μ1/39

Πρὸ πέντε ἡμερῶν τέσσαρες ἀτμοκίνητοι φρεγάται μετεκόμισαν εἰς τὸν λιμένα τῆς Σούδας, μίαν ὥραν μακρὰν τῶν Χανίων, 4.600 στρατιώτας Αἰγυπτίους πεζοὺς ἐξ Ἀλεξανδρείας, δύο δ' ἕτερα πλοῖα μετέφεραν τὴν ἀναγκαίαν ἀποσκευὴν καὶ τροφάς. Ὁ στρατὸς οὗτος, ἀφοῦ καθαρισθῆ, θέλει τεθῆ εἰς τὰς διαταγὰς τοῦ ἐν τῇ νήσῳ ὑπάρχοντος στρατηγοῦ (φερίκ)[1]. Αἱ εἰδήσεις λοιπὸν τὰς ὁποίας εἴχαμεν, ὅτι στρατὸς ἕτερος δὲν ἔρχεται καὶ ἰδίως ὅτι ὁ ἐν Ἀλεξανδρείᾳ ἑτοιμασθεὶς διὰ τὴν Κρήτην ἔλαβε διαταγὴν ἐναντίαν, δυστυχῶς δὲν ἐπηλήθευσαν.

Ἡ συσσώρευσις στρατοῦ τοσούτου, 20–28 χιλιάδων, τοσούτου ὑλικοῦ, πλοίων περιπλεόντων τὴν νῆσον, ὀρεινῶν πυροβόλων ἐνέσπειρε φόβον εἰς τοὺς κατοίκους καί, ἂν ἔκ τινος ἐπιστολῆς τῆς Ἐπιτροπῆς κρίνω, ὁ φόβος οὗτος διεδόθη μέχρις αὐτῆς.

Καὶ φαίνεται μὲν ὅτι τὸ σχέδιον τοῦ Διοικητοῦ εἶναι νὰ μὴ προσβάλῃ διὰ τῆς βίας τὴν Ἐπιτροπήν, διότι, ἂν σκοπὸν τοιοῦτον εἶχεν, ἤθελεν ἤδη τὸν ἐπιχειρήσει, ἀλλὰ νὰ καθέξῃ ὅλας τὰς στρατηγικὰς θέσεις, νὰ περικυκλώσῃ αὐτήν, νὰ τὴν ἀπομονώσῃ ἀπὸ τὴν λοιπὴν νῆσον, νὰ διακόψῃ πᾶσαν εὔκολον συγκοινωνίαν μεταξὺ τῶν διαφόρων τμημάτων τῆς νήσου, εἰς τρόπον ὥστε, ἂν κανὲν ἔνοπλον κίνημα ἐκραγῇ, νὰ τὸ καταπνίξῃ, χωρὶς νὰ δώσῃ καιρὸν νὰ λάβῃ ἀνάπτυξιν.

Χθὲς ἐπανῆλθεν ἐκ Κωνσταν/λεως ὁ γαμβρὸς τοῦ Γενικοῦ Διοικητοῦ Καδρῆ Ἐφένδης, ὅστις πρὸ ἑνὸς μηνὸς εἶχε σταλῆ παρ' αὐτοῦ εἰς Κωνστ/λιν, φέρων βεβαίως ὁδηγίας, πλὴν οὐδὲν ἠκούσθη ὡς πρὸς τὴν ὑπόθεσιν τῶν Κρητῶν.

Τὴν παρελθοῦσαν Τρίτην κατωρθώθη νὰ συνέλθῃ τὸ προξενικὸν σῶμα (ὡς ἐν τῇ τελευταίᾳ ἀναφορᾷ[2] ἔλεγον) ἐν τῇ οἰκίᾳ τοῦ Ἄγγλου Προξένου Κου Δίξωνος. Ἐκεῖ ὁ τῆς Ρωσσίας Γενικὸς Πρόξενος Κος Δενδρινὸς ζωηρῶς ὑπεστήριξε τὴν ἰδέαν ὅτι τὸ σῶμα ὤφειλε διὰ μιᾶς ἀπὸ κοινοῦ διακοινώσεως νὰ παραστήσῃ εἰς τὸν Διοικητὴν ὅτι τὰ βίαια μέτρα ἃ ἐσχάτως ἤρχισε νὰ λαμβάνῃ ἄφευκτον συνέπειαν θέλουν ἔχει νὰ ὠθήσωσι τὸν τόπον εἰς ἐπανάστασιν καὶ ὅτι παρακαλοῦσιν αὐτὸν νὰ παύσῃ ἀπὸ πᾶσαν πρᾶξιν δυναμένην

1. Χφ. *(φερκίου)*.
2. Βλ. ἀνωτέρω, σσ. 46–48.

Ακαδημία Αθηνών / Academy of Athens

νὰ προκαλέσῃ χύσιν αἵματος. Ἂν δὲ ὁ Γ. Διοικητὴς δὲν παραδεχθῇ ταῦτα ἢ ἀπαντήσῃ ὅτι τὸ προξενικὸν σῶμα δὲν εἶναι ἁρμόδιον νὰ ἐπέμβῃ εἰς τὴν ὑπόθεσιν, τότε διαμαρτυρόμενον νὰ ρίψῃ πᾶσαν τὴν εὐθύνην εἰς βάρος του κλπ. Ἐνταῦθα πάλιν ὁ κ. Derché (ὁ τῆς Γαλλίας) ἀπήντησεν ὅτι μὴ ἔχων ὁδηγίας ἐκ μέρους τῆς κυβερνήσεώς του (ἥτις οὐδαμῶς περὶ τῶν πραγμάτων τῆς Κρήτης καίτοι ἀνακοινώσας αὐτῇ ἀπ' ἀρχῆς τὰ διατρέχοντα τῷ ἔγραψε) δὲν δύναται νὰ ὑπογράψῃ τοιοῦτον ἔγγραφον. Ἐπίσης καὶ ὁ Ἄγγλος κ. Dickson εἶπεν ὅτι δὲν εἶναι ἁρμόδιον τὸ σῶμα ν' ἀπευθύνῃ ἐπισήμως τοιαύτην ἔγγραφον διακοίνωσιν. Μετὰ πολλὴν συζήτησιν συνήνεσαν οὗτοι εἰς τὸ νὰ γίνουν [1] ἡμιεπισήμως (officieusement) προφορικαί τινες παρατηρήσεις εἰς τὸν Γενικὸν Διοικητήν, ὅτι δηλ. ἡ σύλληψις τοῦ Χατζὴ Γεωργίου Κοκκινάκη, ⟨τοῦ⟩ Κοσκινᾶ καί τινος Ἀμηρᾶ καὶ ἡ παράτασις τῆς φυλακίσεώς των ἐπροξένησε ταραχὴν εἰς τὰ πνεύματα τῶν Χριστιανῶν, ἥτις δύναται νὰ ἔχῃ συνεπείας μᾶλλον δυσαρέστους· ὅτι τὸ προξενικὸν σῶμα κάμνει τὰς παρατηρήσεις ταύτας, τοσούτῳ μᾶλλον καθ' ὅσον ἐγγίζει ἡ ἐποχὴ τῆς συλλογῆς τοῦ κυριωτέρου καρποῦ τῆς νήσου, τῶν ἐλαιῶν, καὶ ἡ ἔλλειψις ἡσυχίας θέλει φέρει ὑλικὰς ζημίας. Ἐπεφορτίσθησαν δ' οἱ Κοι Κοι Στῆλμαν, Πρόξενος τῆς Ἀμερικῆς, καὶ Κολούτζης, Πρόξενος τῆς Ἰταλίας, νὰ μεταβῶσι καὶ προφορικῶς διαβιβάσωσι ταῦτα.

Εἰς τούτους ὁ Γεν. Διοικητὴς ἀπήντησεν ὅτι δὲν θεωρεῖ τὸ προξενικὸν σῶμα οὔτε ἐπισήμως οὔτε ἡμιεπισήμως ἁρμόδιον νὰ τῷ κάμῃ παρατηρήσεις τοιαύτας διὰ τὴν ἐξάσκησιν ὑπηρεσίας ἧς ἡ διαχείρισις ἀνήκει εἰς αὐτόν· ὅτι, ἂν φρονοῦν ὅτι αὐτὸς κακῶς ἐνεργεῖ, δύναται ν' ἀναφέρῃ τὸ πρᾶγμα εἰς τὰς κυβερνήσεις του. Ἐκεῖνοι δὲ ἀπήντησαν ὅτι θεωροῦν καθῆκόν των νὰ κάμῃ τὰς παρατηρήσεις ταύτας.

Περὶ τῶν εἰρημένων προσώπων ἅτινα συνελήφθησαν ἔλαβον τὴν τιμὴν ν' ἀναφέρω ἐν τῇ τελευταίᾳ ἀναφορᾷ μου, πλὴν τοῦ Ἀμηρᾶ, ὡς πρὸς τὸν ὁποῖον ὀφείλω νὰ εἴπω δύο λέξεις. Οὗτος εἶναι ἐκ τῶν πλέον εὐκαταστάτων ἐμπόρων τοῦ τόπου, Ὀθωμανὸς ὑπήκοος. Πρὸ ἑνὸς μηνὸς συνομιλῶν μέ τινας εἰς τὴν ἀγορὰν περὶ τῶν πραγμάτων τῆς νήσου εἶπεν εἰς αὐτοὺς ὅτι ἀπόψε οἱ Τοῦρκοι σκοπὸν ἔχουν νὰ φονεύσουν τοὺς Χριστιανούς. Οἱ ἐπιπολαίως ρηθέντες οὗτοι λόγοι ἔφθασαν εἰς τὴν ἀκοὴν τοῦ Γεν. Διοικητοῦ, ὅστις παραχρῆμα διέταξε τὴν φυλάκισιν τοῦ εἰρημένου ἀτόμου [2].

Ἐκτὸς τούτων χθὲς ὁ Γενικὸς Διοικητὴς ἀπήτησε τὴν ἐκ τῆς νήσου ἀποπομπὴν τοῦ Γ. Ψαρρᾶ ἢ Καλαματιανοῦ, ὑπηκόου Ἕλληνος, τοῦ κατηγορηθέντος ὅτι εἶπε λέξεις τινὰς ἐχούσας ἐπιρροὴν εἰς τὴν δημοσίαν τάξιν. Ὁ Γ. Ψαρρᾶς οὗτος εἶναι τὸ πρόσωπον περὶ οὗ ἔκαμα λόγον εἰς τὴν ὑπ' ἀριθ. 367 ἐ.ἔ. ἀναφοράν [3] μου ὅτι ἐν τῷ οἰνοπωλείῳ εἶπεν ἐνώπιον πολλῶν ὅτι μετὰ 15 ἡμέρας ἡ Κρήτη θὰ γίνῃ Ἑλλάς. Εἰς τὴν ἀποπομπὴν τοῦ

---

1. Χφ. *γείνῃ*.

2. Χφ. *ἀτόπου*.

3. Ἡ ὑπ' ἀριθ. 367 ἀναφορὰ ἔφερε, συμφώνως πρὸς τὸ πρωτόκολλον τοῦ Προξενείου Χανίων, χρονολογίαν 5 Ἰουλίου 1866, ἐπραγματεύετο δὲ «περὶ τῶν καταπατουμένων ἑλληνικῶν ὑποθέσεων καὶ φιλονεικουμένων Ἑλλήνων ὑπὸ τοῦ Γεν. Διοικητοῦ Κρήτης Ἰσμαὴλ Πασᾶ».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἀτόμου τούτου οὐδεμίαν ἔχω νὰ ἐπιφέρω ἀντίρρησιν, τοσούτῳ μᾶλλον καθ' ὅσον, ὡς πληροφοροῦμαι, εἶναι φυγόδικος, κατηγορούμενος ὅτι ἐν Μεσσηνίᾳ ἔπραξε φόνους. Πρὸς δὲ εἶναι ταραξίας. Ἦλθεν ἐνταῦθα μὲ ψευδὲς ὄνομα καὶ σκοπὸν εἶχα καὶ ἄνευ τοιαύτης ἀφορμῆς νὰ τὸν πέμψω εἰς τὸν δῆμόν του, ἀλλ' ἐπερίμενα νὰ πράξω τοῦτο, ἀφοῦ ἤθελα λάβει πληροφορίας παρὰ τοῦ ἁρμοδίου εἰσαγγελέως, εἰς ὃν ἔγραψα.

Ἡ Ἐπιτροπὴ ἔκρινε καλὸν νὰ διαμαρτυρηθῇ κατὰ τῶν γενομένων ἀρτίως συλλήψεων τοῦ Χατζὴ Γεωργ. Κοκκινάκη καὶ Κοσκινᾶ. Ἀντίγραφον τῆς διαμαρτυρήσεως [1], ἐπιδοθείσης καὶ εἰς τὰ διάφορα προξενεῖα, ἐπισυνάπτω ὧδε.

24

ΝΙΚΟΛΑΟΣ ΣΑΚΟΠΟΥΛΟΣ ΠΡΟΣ ΕΠΑΜΕΙΝΩΝΔΑΝ ΔΕΛΗΓΕΩΡΓΗΝ

Ἀριθ. 402 *Χανιά, ⟨24⟩ [2] Ἰουλίου 1866*

ΑΥΕ/ΚΥ – Μ2/43

Ἐνῷ ὅλοι οἱ εὐσυνείδητοι ἄνθρωποι ἤλπιζον ὅτι ἡ Ὑψηλὴ Πύλη πατρικῶς σκεπτομένη ἤθελε παραδεχθῇ ἂν ὄχι ὅλας τοὐλάχιστον τὰς προφανῶς δικαιοτέρας ἀπαιτήσεις τῶν Κρητῶν, ἢ ἤθελε κἂν λάβει πρόνοιαν νὰ ἐξετάσῃ αὐτάς [3], αἴφνης τὴν εἰκοστὴν τοῦ ἱσταμένου μηνὸς ὁ Γενικὸς Διοικητὴς ἐδημοσίευσε τὴν ἀπόφασιν τῆς Ὑψ. Πύλης διὰ τῆς ὁποίας ὄχι μόνον πᾶσαν ἀπαίτησίν των ἀπορρίπτει, ἀλλὰ καὶ περιφρονητικῶς ἀποκαλεῖ αὐτοὺς ἀνθρώπους ἀνεπιδέκτους συμβουλῶν, ῥαδιούργους καὶ ταραξίας. Ἀφοῦ δὲ αὐστηρῶς τοὺς ἐπιπλήττει ὡς στασιαστάς, [τοὺς] διατάσσει: 1) νὰ δώσωσιν ἐγγράφους ἐγγυήσεις ὅτι εἰς τὸ ἑξῆς οὐδέποτε θέλουν παρεκτραπῆ τῶν καθηκόντων τῆς ὑποταγῆς· 2) ν' ἀποσυρθῇ ἕκαστος ἐκ τῶν συνηθροισμένων εἰς τὰ ἴδια, ἂν δ' ἔχωσι νὰ κάμωσι παρατήρησίν τινα, νὰ τὴν κάμωσιν εἰς τὴν Διοίκησιν τοῦ τόπου ταπεινῶς καὶ εὐσχημόνως· 3) ἂν ὅμως μὴ ὑπακούσωσιν εἰς ταῦτα, τότε νὰ διαλυθῶσι διὰ τῆς βίας, νὰ συλληφθῶσιν οἱ ἀρχηγοί, νὰ σταλῶσιν εἰς τὰς εἱρκτὰς τῶν αὐτοκρατορικῶν φρουρίων· καὶ 4) ἂν ἀντισταθῶσι, νὰ τοὺς προσβάλωσι.

Τῆς ἀπαντήσεως [4] ταύτης, σταλείσης ὑπὸ τοῦ Μεγάλου Βεζίρου πρὸς τὸν Γενικὸν Διοικητὴν τῆς Κρήτης τὴν παρελθοῦσαν ἑβδομάδα διὰ τοῦ γαμβροῦ τοῦ τελευταίου τούτου, ἔλαβα τὴν τιμὴν νὰ πέμψω ἀντίγραφον δι' ἱστιοφόρου πλοίου διευθυνθέντος εἰς Σῦρον καὶ ἐλπίζω ὅτι τὴν ἐλάβατε ἤδη.

---

1. 10 Ἰουλίου 1866: *Documents relatifs à l'Insurrection de Crète*, σσ. 64–65.
2. Προσθήκη ἐκ τοῦ σχεδίου (ΑΥΕ/ΠΧ).
3. Χφ. *αὐτά*.
4. Τὴν ἀπάντησιν τῆς Ὑψηλῆς Πύλης ὑπὸ χρονολογίαν 3 Ἰουλίου 1866 βλ. εἰς *Correspondence respecting the disturbances in Crete : 1866–67*, σσ. 23–24. Τὴν αὐτὴν ἀπάντησιν ὑπὸ χρονολογίαν 11 Ἰουλίου 1866, συντετμημένην, ὡς ἀνεκοινώθη εἰς τοὺς Κρῆτας, βλ. εἰς ΑΥΕ/ΠΚ – Μ69/2579 (ἔντυπον)· καὶ Κριάρη, *ἔ.ἀ.*, τ. Γ', σσ. 139–141.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Αὐθημερὸν ὁ Γενικὸς Διοικητὴς ἔπεμψε τὸν ἰδιαίτερον γραμματέα του Γρηγόριον Ἀριστάρχην συνοδευόμενον ὑπὸ δύο Ὀθωμανῶν, ἵνα κάμῃ γνωστὴν τὴν ἀπάντησιν ταύτην τῆς Ὑψηλῆς Πύλης εἰς τὴν Ἐπιτροπήν. Οὗτος προσεπάθησεν ὅπως δυνηθῇ νὰ πείσῃ τὴν Ἐπιτροπὴν νὰ ὑποταχθῇ εἰς τὴν ἀπόφασιν τῆς Ὑψ. Πύλης καὶ ἄνευ ἀναβολῆς χρόνου νὰ διαλυθῇ. Πλὴν ἐκείνη ἰδοῦσα τὴν ἀνέλπιστον ταύτην ἀπάντησιν εἶπεν ὅτι ἡ συνείδησίς της καὶ ἡ συναίσθησις τῶν δικαιωμάτων της δὲν τὴν συγχωρεῖ νὰ ὑποβληθῇ εἰς τὰς ἀποφάσεις τῆς Πύλης καὶ πρὸ πάντων νὰ δώσουν ἐγγυήσεις περὶ τῆς μελλούσης διαγωγῆς των· ὅτι ὅλοι αὐτοὶ εἶναι ἐντολοδόχοι τοῦ λαοῦ καὶ ὡς τοιοῦτοι δὲν ἠμποροῦν ἄνευ τῆς γνώσεως καὶ τῆς ἀποφάσεως τοῦ ἐντολέως των νὰ λάβωσι καμμίαν εὐθύνην.

Καὶ ὁ μὲν Ἀριστάρχης ἐπανελθὼν εἰς τὴν πόλιν ἔκαμε γνωστὴν τὴν ἀπόφασιν τῆς Ἐπιτροπῆς εἰς τὸν Γεν. Διοικητήν, ὅστις ἀμέσως τὴν ἐπιοῦσαν, 21 τοῦ μηνός, ἐξέδωκε τὴν συνημμένην προκήρυξιν [1] δι' ἧς, ἀφοῦ, λέγει, ἡ Ἐπιτροπὴ δὲν παρεδέχθη τὴν ἀπόφασιν τῆς Αὐτοκρατορικῆς Κυβερνήσεως, ἣν «ἐν τῇ γενναιοψυχίᾳ της ἔκαμε», τοῦ νὰ διαλυθῶσιν, ἀλλ' ἐτόλμησαν νὰ παρακούσωσι τὰς διαταγάς της, ἡ Διοίκησις θέλει προστρέξει εἰς τὴν βίαν καταδιώκουσα τόσον τοὺς συνηθροισμένους, καθὼς καὶ τοὺς βοηθοῦντας αὐτούς.

Ἡ δὲ Ἐπιτροπή, ἰδοῦσα ὅτι ἐξηντλήθησαν ἀνωφελῶς πλέον ὅλα τὰ εἰρηνικὰ μέσα τὰ ὁποῖα εἶχεν εἰς τὴν διάθεσίν της καὶ στηριζομένη εἰς τὴν ἱερότητα τῶν δικαιωμάτων τοῦ λαοῦ, ὧν ἡ ὑπεράσπισις τῇ ἀνετέθη, ἀπεφάσισε τὴν ἐσχάτην ἀπόφασιν, νὰ διεκδικήσῃ αὐτὰ καὶ διὰ τοῦ αἵματός της. Ἐξέδωκε λοιπὸν τὴν ἀπὸ 20 Ἰουλίου διαμαρτύρησίν [2] της, κοινοποιηθεῖσαν εἰς τοὺς προξένους, δι' ἧς δικαιολογεῖ [3] τὸ ἔσχατον μέτρον εἰς τὸ ὁποῖον κατέφυγον [4]. Ἀντίγραφον τοῦ ἐγγράφου τούτου, φέροντος καὶ σφραγῖδα τῆς κεντρικῆς Συνελεύσεως τῶν Κρητῶν, λαμβάνω τὴν τιμὴν νὰ ἐπισυνάψω ὧδε.

Ὕψωσαν λοιπὸν ἐν ὀνόματι τοῦ Ὑψίστου τὴν ἱερὰν σημαίαν τῆς ἐπαναστάσεως. Ἡ σημαία των αὕτη συνίσταται ἐκ τεσσάρων σημαιῶν εἰς τὸ αὐτό, ἤτοι τῆς ἑλληνικῆς, τῆς ρωσικῆς, τῆς γαλλικῆς καὶ τῆς ἀγγλικῆς, καὶ ἐκ τῆς εἰκόνος τοῦ Σωτῆρος ἐν τῷ μέσῳ [5]. Διὰ τῶν συμβόλων τούτων θέλουν βεβαίως νὰ δείξωσιν ὅτι ἐκτὸς τῆς θείας ἀντιλήψεως ἐπικαλοῦνται τὴν προστασίαν τῶν τριῶν μεγάλων καὶ προστατίδων δυνάμεων καὶ τὴν ἀρωγὴν τῆς μητρὸς αὐτῶν Ἑλλάδος, εἰς τοὺς κόλπους τῆς ὁποίας θέλουν νὰ εἰσέλθωσι.

Ἅμα γενομένης γνωστῆς τῆς ἀποφάσεως ταύτης, ἀμέσως πάμπολλοι σφριγῶντες νέοι ἔδραμον ἔνοπλοι περὶ τὴν Ἐπιτροπήν, ἥτις μέχρι τῆς στιγμῆς ταύτης ἀριθμεῖ περὶ ἑαυτὴν 4–5.000 γενναίους ὁπλίτας, ἑτοίμους νὰ ὑποστῶσι τὰ πάντα πρὸς πραγματοποί-

---

1. Ἔντυπον : ΑΥΕ/ΠΚ – Μ69/2580· Κριάρη, *ἔ.ἀ.*, τ. Γ', σ. 143.
2. Ἐξ Ἐμπροσνέρου : ΑΥΕ/ΠΚ – Μ69/2573· Τσιριντάνη, *ἔ.ἀ.*, τ. Α', σ. 273.
3. Χφ. *δικαιολογοῦν*.
4. Οἱ ἀντιπρόσωποι τοῦ χριστιανικοῦ λαοῦ τῆς Κρήτης.
5. Περὶ τῆς σημαίας τῆς ἐπαναστάσεως βλ. καί : τὴν ὑπ' ἀριθ. 244, 25 Ἰουλίου 1866 ἔκθεσιν τοῦ Μπαρουξάκη (κατωτέρω, σ. 60)· Τσιριντάνη, *ἔ.ἀ.*, τ. Α', σ. 267· Μαμαλάκη, *ἔ.ἀ.*, τ. Α', σσ. 103–104· Κριάρη, *ἔ.ἀ.*, τ. Γ', σ. 142.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ησιν τοῦ μόνου πόθου των. Συγχρόνως δὲ ἡ Ἐπιτροπὴ ἐγνωστοποίησε ταχέως δι' ἐκτάκτων ἀπεσταλμένων τὰ διατρέχοντα εἰς ὅλας τὰς ἐπαρχίας, ἵνα ὁλόκληρος ὁ τόπος λάβῃ μέρος εἰς τὸ κίνημα καὶ συγκεντρωθῶσι σώματα ὡπλισμένων εἰς ὅλα τὰ μέρη τῆς νήσου ὅπου ὑπάρχει ἰσχυρὰ ἔνοπλος δύναμις.

Ὁ Γενικὸς Διοικητής, συνοδευόμενος ὑπὸ τοῦ Αἰγυπτίου Πασᾶ [1], ἐπὶ κεφαλῆς στρατιωτικοῦ τινος σώματος 4–5.000 μετέβη εἰς χωρίον Ἀρμένους καὶ δὲν εἶναι ἀπίθανον ἐντὸς ὀλίγου ν' ἀκούσωμεν ὅτι ἔρρευσε τὸ αἷμα.

